εἶναι τὸ νοερὸν ἡγοῦνται. Ἀριστοτέλης δὲ τὸν μὲν δυνάμει νοῦν συγκατεσκευάσθαι τῷ ἀνθρώπῳ, τὸν δὲ ἐνεργείᾳ θύραθεν ἡμῖν ἐπεισιέναι δοξάζει, οὐκ εἰς τὸ εἶναι καὶ τὴν ὕπαρξιν τοῦ ἀνθρώπου συντελοῦντα, ἀλλ' εἰς προκοπὴν τῆς τῶν φυσικῶν γνώσεως καὶ θεωρίας συμβαλλόμενον. κομιδῆ γοῦν ὀλίγους τῶν ἀνθρώπων καὶ μόνους τοὺς φιλοσοφήσαντας τὸν ἐνεργείᾳ νοῦν ἔχειν διαβεβαιοῦται. Πλάτων δὲ οὐ δοκεῖ λέγειν τὸν ἄνθρωπον εἶναι τὸ συναμφότερον, ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν σώματι τοιῷδε χρωμένην, ἀξιοπρεπέστερον φανταζόμενος τὰ κατὰ τὸν ἄνθρωπον, καὶ αὐτόθεν ἡμᾶς ἐπιστρέφων ἐπὶ τὴν τῆς ψυχῆς μόνης θειότητα καὶ ἐπιμέλειαν, ἵνα τὴν ψυχὴν ἑαυτοὺς εἶναι πιστεύοντες τὰ τῆς ψυχῆς ἀγαθὰ μόνα διώκωμεν, τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν, καὶ μὴ τὰς τοῦ σώματος ἐπιθυμίας ἀγαπήσωμεν, ὡς οὐκ

VAR. LECT. ET ANIMADV.

συγκατεσκευάσθαι] συγκατεσκευᾶσθαι. D. 1. συγκατασκευάσθαι. A. 2. Paullo post τῶν φυσικῶν reddidit *naturarum*. Con.

διαβεβαιοῦται] διαβεβαιοῦνται. D. 1. A. 1. *Confirmentur*. Vall.

οὐ λέγει] οὐ δοκεῖ λέγειν. D. 1. A. 1. 2. *Visus est dicere*. Vall.

τὸ ἀξιοπρεπέστερον] τὸ abest. D. 1. A. 1. 2. ἀξιοπρεπέστερον τὰ κατὰ τὸν ἄνθρωπον. In marg. Ant. *Praestantiora*. Vall. Vide mox.

τῶν κατὰ τὸν ἄνθρωπον] τὰ κατὰ τὸν ἄνθρ. D. 1. A. 1. 2. 3.

πρὸς τὴν τῆς ψυχῆς] ἐπὶ τὴν τῆς ψυχῆς. D. 1. A. 1. 2. 3. M. 1. Mox, μόνην. A. 2.

θειότητα] non videtur esse hujus loci. Conjicio, οἰκειότητα, quod συνάφεια videtur postulare. Con. reddidit, *curam et sollicitudinem*. Forte ergo θεραπείαν legit. *Solius animae divinitatem*. Vall. M. 1. exhibet θειοτάτην ἐπιμέλειαν.

ἑαυτοὺς εἶναι] syllaba ους ex correct. D. 1.

μόνα διώκωμεν] μόνα καταδιώκωμεν. M. 1. μόνα μεταδιώκωμεν. A. 1. 2. Post μόνα ab alio insertum τα. Haud dubie voluit μετα. D. 1. μεταδιώκωμεν probandum videtur, etsi alterum idem exprimat.

ἀγαπήσωμεν] ἀναπείσωμεν. M. 1.

φύσεις ἀνθρώπου, ἢ ἄνθρωπος, ἀλλὰ ζώου μὲν προηγουμένως, ἀνθρώπου δὲ ἑπομένως, ἐπειδὴ καὶ ζῶον ὁ ἄνθρωπος. καὶ ἄλλως δὲ κυριωτέρα τοῦ σώματος ἡ ψυχὴ πᾶσιν ἀνθρώποις εἶναι καθωμολόγηται. ὑπὸ ταύτης γὰρ, ὡς ὄργανον, κινεῖται τὸ σῶμα. δηλοῖ δὲ ὁ θάνατος. χωρισθείσης γὰρ τῆς ψυχῆς ἀκίνητον μένει τὸ σῶμα παντελῶς καὶ ἀνενέργητον, ὡς, τεχνίτου χωρισθέντος, ἀκίνητα μένει τὰ ὄργανα. γνώριμον δὲ, ὅτι καὶ τοῖς ἀψύχοις κοινωνεῖ, καὶ τῆς τῶν ἀλόγων ζώων μετέχει ζωῆς, καὶ τῆς τῶν λογικῶν μετείληφε νοήσεως. κοινωνεῖ γὰρ τοῖς μὲν ἀψύχοις κατὰ τὸ σῶμα καὶ τὴν ἀπὸ τῶν τεσσάρων στοιχείων κρᾶσιν· τοῖς δὲ φυτοῖς κατά τε ταῦτα καὶ τὴν θρεπτικὴν καὶ σπερματικὴν δύναμιν· τοῖς δὲ ἀλόγοις καὶ ἐν τούτοις μὲν, ἐξ ἐπιμέτρου δὲ κατά τε τὴν

VAR. LECT. ET ANIMADV.

ἀνθρώπου ἢ ἄνθρωπος] ἀνθρώπου ῆ (id eſt, ῇ. nam jota ſubſcriptum omittit.) ἄνθρωπος. D. 1. ἀνθρώπου ἢ ἄνθρωπον. A. 1. 2. 3. Haec peſſime corrupta et turbata apud Con. *Utpote quae hominis aut hominem conſtituentia non ſunt.* Vall. Mox δὲ abeſt. A. 3.

καὶ ἄλλως δὲ] καὶ ἄλλω δέ. vitioſe. D. 1. Mox vitioſe καθωμολογεῖται. M. 1.

ὑπὸ ταύτης γὰρ] ἀπὸ, loco ὑπό. D. 1. M. 1. Non male. Ita enim evidentius initium motus notatur.

δηλοῖ δὲ ὁ θάνατος] in marg. ab alia manu additum. D. 1. Mox μένει Vall. reddidit *jacet*, et altero loco *jacent*.

καὶ τοῖς ἀψύχοις] v. Jo. p. 179 D.

ἀλόγων μετέχει ζωῆς] ἀλόγων ζώων μετέχει ζωῆς. D. 1. A. 1. 2. 3. *Animalibus* habet etiam Con. *Animantibus*. Vall. Paullo ante poſt κοινωνεῖ videtur excidiſſe, καὶ τοῖς φυτοῖς. Mox enim ſeparatim notat ἄψυχα et φυτά.

κοινωνεῖ γὰρ] κοινωνεῖ μὲν γάρ. Sed μὲν punctis notatum. A. 2.

στοιχείων κρᾶσιν] Sic, ſed ex correct. κράσιν. D. 1.

καὶ σπερματικὴν] καὶ τὴν σπερματικήν. A. 1. 2. θρεπτικὴν καὶ αὐξητικὴν καὶ σπερματικὴν ἤγουν γεννητικὴν δύναμιν. Jo. p. 180.

ἐπιμέτρου δὲ κατά τε] ἐπιμέτρου δέ· κατά τε. D. 1. γε, loco τε. M. 1. ἐξ ἐπιμέτρου, id eſt, πολὺ πλέον, μᾶλλον. Poſt ἐπιμέτρου δὲ pergit Jo. p. 180. ita: κατὰ τὴν ὄρεξιν,

καθ' ὁρμὴν κίνησιν καὶ κατὰ τὴν ὄρεξιν καὶ τὸν θυμὸν καὶ τὴν 11
αἰσθητικὴν καὶ ἀναπνευστικὴν δύναμιν· ταῦτα γὰρ ἅπαντα κοινὰ τοῖς ἀνθρώποις καὶ τοῖς ἀλόγοις ἐστὶν, εἰ καὶ μὴ πᾶσι πάντα. συνάπτεται δὲ διὰ τοῦ λογικοῦ ταῖς ἀσωμάτοις καὶ νοεραῖς φύσεσι, λογιζόμενος καὶ νοῶν καὶ κρίνων ἕκαστα, καὶ τὰς ἀρετὰς μεταδιώκων, καὶ τῶν ἀρετῶν τὸν κολοφῶνα τὴν εὐσέβειαν ἀσπαζόμενος. δι' ὃ καὶ ὥσπερ ἐν μεθορίοις ἐστὶ νοητῆς καὶ αἰσθητῆς οὐσίας. συναπτόμενος κατὰ μὲν τὸ σῶμα καὶ τὰς σωματικὰς δυνάμεις τοῖς ἀλόγοις ζώοις τε καὶ τοῖς ἀψύχοις, κατὰ δὲ τὸ λογικὸν ταῖς ἀσωμάτοις οὐσίαις, ὡς εἴρηται πρότερον. ὁ γὰρ δημιουργὸς ἐκ τοῦ κατ' ὀλίγον ἔοικεν ἐπισυνάπτειν ἀλλήλαις τὰς διαφόρους φύσεις, ὥστε μίαν εἶναι καὶ συγγενῆ τὴν πᾶσαν κτίσιν. ἐξ οὗ μάλιστα δείκνυται εἷς ὢν ὁ πάντων τῶν ὄντων δημιουργός. οὐ

VAR. LECT. ET ANIMADV.

ὄρεξιν, ἤγουν θυμὸν καὶ ἐπιθυμίαν, καὶ κατὰ τὴν αἴσθησιν καὶ κατὰ τὴν καθ' ὁρμὴν κίνησιν. Vall. καθ' ὁρμὴν κίνησιν reddidit: *motu, impulſu.*

ταῦτα γὰρ ἅπαντα] τ. γ. πάντα. D. 1. Paullo poſt συνάπτεσθαι. M. 1.

διὰ τοῦ λογικοῦ] διὰ μὲν τοῦ λογικοῦ. D. 1. ἀσωμάτους φύσεις, ut alii, appellat angelos. Laudat haec Jo. p. 180. B.

δι' ὃ καὶ] διὸ καί. D. 1. A. 3. καὶ, poſt ὥσπερ, habet M. 1.

ἐστὶν αἰσθητῆς καὶ νοερᾶς] ἐστι νοητῆς καὶ αἰσθητῆς. D. 1. A. 1. 2. Con. Poſt αἰσθητῆς addit, καὶ αἰσθητικῆς, M. 1. A. 3. Interpres haud dubie voluit, *ſenſum habentis,* loco *moventis.*

κατὰ τὸ σῶμα] κατὰ μὲν τὸ σῶμα. D. 1. A. 1. 2. 3. M. 1. *corpore quidem.* Vall.

τοῖς ἄλλοις ζώοις καὶ τοῖς ἀψύχοις] τοῖς ἀλόγοις ζώοις τὲ καὶ ἀψύχοις. D. 1. A. 2. Ita ſaltem τοῖς, ante ἀψύχοις, addendum. Atque ita habet M. 1. A. 3. Diſtingui etiam poſſit: τοῖς ἄλλοις ζώοις τε καὶ ἀψύχοις. Sic A. 2. *Rationis expertibus.* Con. *Aliis animantibus.* Vall.

ἐκ τοῦ κατ' ὀλίγον] id eſt, paullatim, gradatim. Con. ita: *conditor enim deus decenter.* Ac ſi legerit, θεὸς ἐκ τοῦ κατὰ λόγον. Male! *Rerum omnium creator deus.* Vall.

γὰρ μόνον ἥνωσε τὴν ὕπαρξιν τῶν κατὰ μέρος ἀτόμων, ἀλλὰ καὶ ἕκαστα πρὸς ἄλληλα συνήρμοσεν οἰκείως. ὥσπερ γὰρ ἐν ἑκάστῳ τῶν ζώων ἥνωσε τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς, ὀστοῦν καὶ πιμελὴν καὶ τρίχας καὶ τὰ ἄλλα τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς νεύροις (καὶ σαρξὶ καὶ τοῖς ὁμοίοις), καὶ ἐποίησεν ἐξ ἀναισθήτων καὶ αἰσθητικῶν συγκείμενον τὸ ζῶον, καὶ οὐ μόνον συγκείμενον, ἀλλὰ καὶ ἓν ὂν ἀπέδειξεν· οὕτω καὶ ἐπὶ τῆς ἄλλης κατ' εἶδος κτίσεως πεποίηκε συνάπτων ἀλλήλοις τῇ κατ' ὀλίγον οἰκειότητι καὶ παραλλαγῇ τῆς φύσεως, ὡς μὴ κατὰ πολὺ διεστάναι τὰ πάντη ἄψυχα τῶν
12 ἐχόντων φυτῶν τὴν θρεπτικὴν δύναμιν, μηδ' αὖ ταῦτα τῶν ἀλόγων καὶ αἰσθητικῶν ζώων, μήτε μὴν τὰ ἄλογα τῶν λογικῶν ἀπηλλοτριῶσθαι πάντη καὶ ἀσύμβατα καὶ ἄνευ δεσμοῦ τινος εἶναι συμφυοῦς καὶ φυσικοῦ. διαλλάττει μὲν γὰρ καὶ λίθος λίθου δυνάμει τινί, ἀλλ' ἡ μαγνῆτις λίθος ἐξεληλυθέναι δοκεῖ τὴν τῶν ἄλλων λίθων φύσιν τε καὶ δύναμιν ἐν τῷ προφανῶς ἕλκειν πρὸς ἑαυτὴν καὶ κατέχειν τὸν σίδηρον, ὥσπερ τροφὴν αὐτὸν ποιήσασθαι βουλομένη, καὶ μὴ μόνον ἐφ' ἑνὸς σιδήρου τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἄλλον δι'

VAR. LECT. ET ANIMADV.

ἀναίσθητα τοῖς αἰσθητικοῖς] ἀν. τοῖς αἰσθητοῖς. A. 3.

καὶ τὰ ἄλλα τὰ ἀναίσθητα] omittit D. 1. Paullo ante ὀστᾶ, *oſſa*. Con. Vall. ὀστοῦν ἔτι καί. M. 1.

καὶ σαρξὶ καὶ τοῖς ὁμοίοις] omittit D. 1. A. 1. 2. Con. Vall.

συγκείμενον τὸ ζῶον] τὸ abeſt. D. 1.

συνάπτων ἀλλήλοις] συνάπτων ἄλληλα. D. 1. A. 1. 2. 3. M. 1. Forte ſcripſerat, ἄλληλα ἀλλήλοις, aut, ἄλλα ἄλλοις. *Inter ipſa invicem*. Vall. Mox, διεστάναι, uti ſupra συνεστάναι. Deinde πάντα, loco πάντη. M. 1. Mox malim ἐχόντων φυτῶν ponere poſt δύναμιν. Paullo poſt, τὰ ἄλλα ἄλογα. M. 1.

ἀσύμβατα] disjuncta, quaſi dicas, *disconvenientia*.

γὰρ λίθος] γὰρ καὶ λίθος. D. 1. A. 2. Vall. Mox, μαγνῆτις D 1. ex correct. antea ἡ.

ἄλλων λίθων] λίθων abeſt. A. 2. Mox, *occulte*. Con. Ergo ἀφανῶς, loco προφανῶς.

καὶ μὴ μόνον] aut ex ſuperioribus repetendum ἐν τῷ, aut corrigendum ποιεῖ et κατέχει, ut Con. reddidit. Mox, ἄλλου δι' ἄλλου. A. 3.

ἄλλου κατέχειν τῷ μεταδιδόναι τοῖς ἐχομένοις πᾶσι τῆς δυνάμεως ἑαυτῆς. κατέχει γοῦν καὶ ὁ σίδηρος σίδηρον, ὅταν ὑπὸ τῆς μαγνήτιδος ἔχηται. εἶτα πάλιν ἑξῆς ἀπὸ τῶν φυτῶν ἐπὶ τὰ ζῶα μετιὼν, οὐκ ἀθρόως ἐπὶ τὴν μεταβατικὴν καὶ αἰσθητικὴν ὥρμησε φύσιν· ἀλλ' ἐκ τοῦ κατ' ὀλίγον ἐπὶ ταύτην ἐμμελῶς προῆλθε. τὰς γὰρ πίννας καὶ τὰς ἀκαλύφας ὥσπερ αἰσθητικὰ δένδρα κατεσκεύασεν. ἐῤῥίζωσε μὲν γὰρ αὐτὰς ἐν τῇ θαλάσσῃ δίκην φυτῶν, καὶ ὥσπερ ξύλα τὰ ὄστρακα περιέθηκε καὶ ἔστησεν ὥσπερ φυτά. αἴσθησιν δὲ αὐταῖς ἐνέθηκε τὴν ἁπτικὴν, τὴν κοινὴν πάντων ζώων αἴσθησιν, ὡς κοινωνεῖν τοῖς μὲν φυτοῖς κατὰ τὸ ἐῤῥιζῶσθαι καὶ ἑστάναι, τοῖς δὲ ζώοις κατὰ τὴν ἁφὴν (καὶ τὸ αἰσθάνεσθαι). τὸν γοῦν σπόγγον, καίτοι προσπεφυκότα ταῖς

VAR. LECT. ET ANIMADV.

τῆς δυνάμεως ἑαυτῆς] τῆς δυν. αὐτῆς. D. 1. In verſione latina correxi *impertiat*, loco *impetrat*.

ὑπὸ — ἔχηται] ἔχεσθαι ὑπό τινος, teneri re aliqua: ἔχεσθαί τινος, pendere ex re aliqua.

μεταβατικὴν] μεταβατικὸν, quod habet facultatem progrediendi et mutandi loci. Sic Philo p. 168. D. memorat φυτὰ μεταβατικῶς κινητὰ et μεταβατικῇ κινήσει χρώμενα.

ἐμμελῶς ἐπὶ ταύτην] ἐπὶ ταύτην ἐμμελῶς. D. 1. A. 1. 2. 3. *Ad hanc ordinateque* Con. *Et* interpoſuit etiam Ellebodius. *Ad ipſam concinne pervenit.* Vall.

προῆλθε] διῆλθε. A. 2.

τὰς ἀκαλύφας] τὰς ἀκαλίφους. A. 1. τὰς ἀκαλίφους. A. 2. τὰς ἀκαλίφας. A. 3. Alibi ſcribitur ἀκαλήφη. v. Ariſtot. hiſt. animal. IV, 6. Alciphron p. 10. 11.

παρεσκεύασεν] κατεσκεύασεν. D. 1. A. 1. 2. M. 1. Sic mox p. 13. 15. *Comparavit.* Vall. καταςκεύασεν. A. 3.

ὥσπερ φυτὰ] ὡς φυτά. D. 1. A. 1. 2. M. 1. Et in margine: τὰ ζωόφυτα λέγει. D. 1. ἔθησεν (ſic) ὡς φυτά. A. 3.

αὐτοῖς ἐνέθηκε] αὐταῖς ἐνέδωκε. A. 1. 2. αὐταῖς habet etiam A. 3. Sic antea eſt, αὐτὰς, i. e. πίννας, ἀκαλύφας. *Dedit.* Vall. ἐνέστηκε, loco ἐνέθηκε. M. 1.

καὶ ἑστάναι] omittit D. 1. Vall.

κατὰ τὴν ἁφὴν] D. 1. addit: καὶ τὸ αἰσθάνεσθαι. Non agnoſcit Con. Nec Vall.

πέτραις καὶ συστέλλεσθαι καὶ ἀνοίγεσθαι ἢ μᾶλλον ἐκτεί-
νεσθαι (καὶ ἀμύνεσθαι), ὅταν προσιόντος αἴσθηταί τινος,
Ἀριστοτέλης ἱστόρησε. Διὸ τὰ τοιαῦτα πάντα ζωόφυτα κα-
13 λεῖν ἔθος ἔχουσιν οἱ παλαιοὶ τῶν σοφῶν. πάλιν δὲ ταῖς
πίνναις καὶ τοῖς τοιούτοις συνῆψε τὴν τῶν μεταβατικῶν μὲν
ζώων γένεσιν, μακρὰν δὲ προελθεῖν μὴ δυναμένων, ἀλλ᾽
αὐτόθεν αὐτοῦ που κινουμένων. τοιαῦτα δέ ἐστι τὰ πλεῖστα
τῶν ὀστρακοδέρμων καὶ τὰ καλούμενα γῆς ἔντερα. εἶθ᾽ οὕτω
κατὰ μέρος προστιθεὶς τοῖς μὲν αἰσθήσεις πλείους, τοῖς δὲ τὸ
μεταβατικὸν ἐπιπλεῖστον, εἰς τὰ τελειότερα τῶν ἀλόγων
ζώων κατήντησε. Λέγω δὲ τελειότερα τὰ πάσας ἔχοντα τὰς
αἰσθήσεις καὶ προϊέναι μακρὰν δυνάμενα. Πάλιν δὲ μετα-

VAR. LECT. ET ANIMADV.

ἀνοίγεσθαι ἢ μᾶλλον ἐκτείνεσθαι] horum loco ſolum ἀμύνεσθαι habet D. 1. A. 1. 2. Ariſtot. hiſt. animal. V, 16. habet διοίγειν et συνάγειν. Forte tamen in vulgata lectione addendum eſt in fine, καὶ ἀμύνεσθαι. *Ut contrahat ſe et defendat, cum laeſionem aliquam ſenſerit.* Con. Intellexit autem ex ſuperioribus κατεσκεύασε, *produxit*, et ante ἀριστοτέλης inculcavit: *Ejusmodi autem de his.* Vall. habet ſolum, *contrahi ac obluctari*, quo expreſſit τὸ ἀμύνεσθαι.

ἱστόρησε] ἤνωσεν ἐν τῇ ἱστορίᾳ. M. 1.

οἱ σοφοὶ] οἱ παλαιοὶ τῶν σοφῶν. D. 1. A. 1. 2. Et in marg. Ant. *veterum ſapientiſſimi.* Con. *Veterum ſapientum.* Vall. Mox, τὴν τῶν μεταβατικῶν δὲ ζώων. A. 2. τῶν, loco τὸν, quod vitioſum eſt, habent etiam reliqui. Mox, γίννεσιν. A. 3. In verſione loco *uſurpant*, correxi *nuncupant.* Iſtud tamen editor Oxonienſis retinuit. Mox etiam *pinnas*, loco *primas* dedi.

αὐτόθεν αὐτοῦ που] hinc illinc, hinc alicubi in vicino, i. e. exiguo intervallo. Opponitur enim μακρὰν *procul.*

τῆς γῆς ἔντερα] τῆς abeſt. D. 1. A. 1. 2. 3. Ariſtot. de gener. animal. III, 11. τὰ δὲ καλούμενα γῆς ἔντερα σκώληκος ἔχει φύσιν. Mox, εἶθ᾽ οὕτω κατά. D. 1. *Oſtraceas et* oſſeas *cutes poſſidentia.* Deinde: *inteſtina, id eſt, vermes.* Con.

τοῖς μὲν αἰσθήσεις] τοῖς μὲν τὰς αἰσθήσεις. A. 2.

τελειώτερα] τελειότερα. D. 1. M. 1. A. 3. Sic et mox. Ita alibi etiam variant MSS. ut Hebr. 9, 11.

ἔχοντα τὰς] τὰς abeſt. M. 1.

βαίνων ἀπὸ τῶν ἀλόγων ἐπὶ τὸ λογικὸν ζῶον, τὸν ἄνθρωπον, οὐδὲ τοῦτο ἀθρόως κατεσκεύασεν, ἀλλὰ πρότερον καὶ τοῖς ἄλλοις ζώοις φυσικάς τινας συνέσεις καὶ μηχανὰς καὶ πανουργίας πρὸς σωτηρίαν ἐνέθηκεν, ὡς ἐγγὺς λογικῶν αὐτὰ φαίνεσθαι, καὶ οὕτω τὸ ἀληθῶς λογικὸν ζῶον τὸν ἄνθρωπον προεβάλετο, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς φωνῆς (κατὰ μέρος) ζητῶν εὑρήσεις, ἐξ ἁπλῆς καὶ μονοειδοῦς τῆς ἵππων καὶ βοῶν ἐκφωνήσεως κατὰ μέρος εἰς ποικίλην καὶ διάφορον παραχθεῖσαν τὴν τῶν κοράκων καὶ μιμηλῶν ὀρνέων φωνὴν, ἕως εἰς τὴν ἔναρθρον καὶ τελείαν τὴν ἀνθρώπου κατέληξε, πάλιν τε τὴν ἔναρθρον διάλεκτον ἐξῆψε τῆς διανοίας καὶ τοῦ λογισμοῦ, ἐξάγγελον ποιήσας αὐτὴν τῶν κατὰ νοῦν κινημάτων. καὶ οὕτω πᾶσι πάντα μουσικῶς συνήρμοσε καὶ συνέδησε καὶ εἰς ἓν συνήγαγε τά τε νοητὰ καὶ τὰ ὁρατὰ διὰ μέσου τῆς

VAR. LECT. ET ANIMADV.

οὐδὲ τοῦτο ἀθρόως] οὔτε τοῦτο ἀθρόως. D. 1. ἀθρόως, *ſine ordine quodam.* Con.

τὸ ἀληθὲς λογικὸν] τὸ ἀληθῶς λογικόν. D. 1. A. 1. 2. 3. M. 1.

προεβάλετο] προεβάλλετο. A. 1. 3.

φωνῆς ζητῶν εὑρήσεις] φωνῆς κατὰ μέρος εὑρήσεις ζητῶν. D. 1. κατὰ μέρος non agnoſcit Con.

μονοειδοῦς] ὁμοειδοῦς. D. 1. *Uniformi.* Con. Vall. Paullo poſt τῆς, ante διανοίας, correxit etiam Ox. Nam τοῖς eſt error manifeſtus.

παραχθεῖσαν] conjungendum cum εὑρήσεις. Mox dubito de vocabulo κοράκων. Quis enim corvis tribuat φωνὴν ποικίλην καὶ διάφορον? Propter μιμηλῶν conjici poſſit ᾠδικῶν. ᾠδικοὶ ὄρνιθες, *aves cantatrices*, ſaepe memorantur. μιμηλοὶ ſunt *imitatrices.* Paullo poſt ἐξάγγελος eſt *nuncius*, *index*, *interpres.* Vall. *Avium corvorum ac luſciniarum.*

τὴν ἀνθρώπου] τοῦ ἀνθρώπου. A. 3.

κινημάτων] κυμάτων. M. 1. Idem paullo poſt τε, ante νοητὰ, omittit. Sic et A. 3.

διὰ μέσης τῆς] διὰ μέσου τῆς. A. 2. Hoc perplacet, i. e. interveniente, ſeu, *mediante*, ut dicunt. Aliud eſt διὰ μέσου τινὸς, quod opponitur τῷ ἀμέσως· aliud eſt, διὰ μέσης v. c. ὁδοῦ, *per mediam viam.* In Codicibus recentioribus, quod notum eſt, ultimae ſyllabae terminatio frequenter in his negligitur.

14 τῶν ἀνθρώπων γενέσεως. Διὸ καὶ καλῶς ὁ Μωϋσῆς, τὴν δημιουργίαν ἐκτιθέμενος, τελευταῖον ἔφησε τὸν ἄνθρωπον γεγενῆσθαι, οὐ μόνον, ὅτι πάντων δι᾽ αὐτὸν γενομένων, ἀκόλουθον ἦν, πρῶτον τὰ πρὸς τὴν χρῆσιν αὐτοῦ παρασκευασθῆναι, καὶ οὕτως αὐτὸν τὸν χρησόμενον παραχθῆναι, ἀλλ᾽, ὅτι νοητῆς γενομένης οὐσίας καὶ πάλιν ὁρατῆς, ἔδει γενέσθαι τινὰ καὶ σύνδεσμον ἀμφοτέρων, ἵνα ἓν ᾖ τὸ πᾶν καὶ συμπαθὲς ἑαυτῷ, καὶ μὴ ἀλλότριον αὐτὸ ἑαυτοῦ. ἐγένετο οὖν τὸ συνδέον ἀμφοτέρας τὰς φύσεις ζῶον, ὁ ἄνθρωπος. τὰ μὲν οὖν τῆς σοφίας τοῦ δημιουργοῦ συντόμως εἰπεῖν, τοιαῦτα. ἐν μεθορίοις οὖν τῆς ἀλόγου καὶ λογικῆς φύσεως ὁ ἄνθρωπος ταχθεὶς, ἐὰν μὲν ἐπὶ τὸ σῶμα ῥέψῃ καὶ τὰ τοῦ σώματος πλέον ἀγαπήσῃ, τὸν τῶν ἀλόγων ἀσπάζεται βίον καὶ τούτοις συναριθμηθήσεται καὶ χοϊκὸς κληθήσεται κατὰ Παῦλον καὶ ἀκούσεται, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς· ἐὰν δὲ ἐπὶ τὸ λογικὸν χωρήσῃ, καταφρονήσας τῶν σωματικῶν πασῶν ἡδονῶν, τὴν θείαν τε καὶ θεοφιλεστάτην ζωὴν μετέρχεται καὶ τὴν ὡς

VAR. LECT. ET ANIMADV.

μωϋσῆς] μωσῆς. A. 1. Mox *τελευταῖον*, *perfectum*. Vall.

πάντων δι᾽ αὐτὸν γενομένων] πάντων τῶν δι᾽ αὐτὸν γινομένων. D. 1.

νοητῆς] Angelos intelligit. Mox *τινὰ δὲ σύνδεσμον*. M. 1.

τῆς σοφίας] τὰς σοφίας. A. 2. Idem mox vitiose, τοῖς ἀλόγοις καὶ λογικῆς. *Rationalis et irrationalis*. Vall.

ἀσπάζεται] *sequetur*. Vall. Ergo ἀσπάσεται. Male!

συναριθμήσεται] συναριθμηθήσεται. D. 1. A. 1. 2. M. 1. Ox. Mox correxi vitiosum ἀπελεύσει. Vall. id reddidit, *dissolveris*.

καὶ ὡμοιώθη αὐτοῖς] desunt. D. 1. Forte additum ex Ps. 48, 20. Ceterum non alienum est. *Comparabitur atque assimilabitur*. Vall.

μακαριωτάτην] θεοφιλεστάτην. M. 1. D. 1. A. 1. 2. 3. Utrumque probum. Sed hoc postulant Codd. *Deo amabilem*. Con. *Deo dilectissimam*. Vall.

μετέρχεται] μετέρχηται. D. 1. Sed antea etiam est ἀσπάζεται.

τὴν ὡς ἀνθρώπου] τὴν ὡς ἄνθρωπον. A. 1. 2.

ἀνθρώπου προηγουμένως, καὶ ἔσται, οἷος ὁ ἐπουράνιος, κατὰ τὸ εἰρημένον, οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. τῆς δὲ λογικῆς φύσεως τὸ κεφάλαιόν ἐστι φεύγειν μὲν καὶ ἀποστρέφεσθαι τὰ κακὰ, μετιέναι δὲ καὶ αἱρεῖσθαι τὰ καλά. Τῶν δὲ καλῶν τὰ μέν ἐστι κατὰ κοινωνίαν ψυχῆς καὶ σώματος, ἐχόντων καὶ τούτων ἐπὶ τὴν ψυχὴν τὴν ἀναφορὰν, οἷον ψυχῆς προςχρωμένης σώματι, ὡς αἱ ἀρεταί· τὰ δὲ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτὴν μόνης, μὴ προσδεομένης σώματος, ὡς ἡ εὐσέβεια καὶ ἡ τῶν ὄντων θεωρία. ὅσοι τοίνυν τὸν ἀνθρώπου βίον, ὡς ἀνθρώπου, ζῆν προαιροῦνται, καὶ μὴ ὡς ζώου μόνου, τὰς ἀρετὰς μετέρχονται καὶ τὴν εὐσέβειαν. τίνα δέ ἐστι τὰ τῶν ἀρετῶν καὶ τίνα τὰ τῆς εὐσεβείας, ἐν τοῖς ἑξῆς διακριθήσεται, ὅταν τὸν περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀποδῶμεν λόγον. οὐδέπω γὰρ ἐγνωσμένου, τί ποτε ἡμῶν ἐστιν ἡ ψυχὴ κατ' οὐσίαν, οὐκ ἔστιν ἀκόλουθον περὶ τῆς ἐνεργείας αὐτῆς διαλαμβάνειν. ἑβραῖοι δὲ τὸν ἄνθρωπον ἐξ ἀρχῆς οὔτε

VAR. LECT. ET ANIMADV.

οἷος ὁ ἐπουράνιος] hoc priori loco omittit Con. τοιοῦτοι καὶ οἱ ἐπουράνιοι, ut paullo poſt, addit A. 1.
τὸ κεφάλαιον] κεφαλή. M. 1.
ἐστι τὸ φεύγειν καὶ] ἐστι φεύγειν μὲν καί. D. 1. M. 1. A. 1. 2. 3. *Quidem.* Vall.
αἱρεῖσθαι τὰ καλὰ] μετέρχεσθαι τὰ καλά. D. 1. et in marg. ab alia manu: περὶ καλῶν. Probo αἱρεῖσθαι. Nam μετιέναι et μετέρχεσθαι prorſus non differunt. *Eligere* habet etiam Con. *Deligere.* Vall.
καθ' ἑαυτὴν μόνης] καθ' ἑαυτὴν μόνην. A. 1. 2.
τῶν ὄντων] *ſupramundanarum rerum.* Con.
τὸν ἀνθρώπου] τὸν τοῦ ἀνθρώπου. D. 1.
ὡς ἀνθρώπου] in marg. ab alia manu additum. D. 1. ὡς ἄνθρωπον. A. 2.
ζώου μόνον] ζώου μόνου. D. 1. A. 1. 2. 3.
τὸν περὶ τῆς ψυχῆς] τῆς abeſt. D. 1.
ἀποδῶμεν] ἀποδώσωμεν. A. 2. *Cum eum, qui de anima et corpore eſt, dicemus ſermonem.* Con.
διαλαμβάνειν] διαλαβεῖν. D. 1.
ἑβραῖοι δὲ] Hic incipit libri 1. cap. 2. cum indice: An mortalis vel immortalis ſit conditus et de ejus cibo, et, cur nudus ſit creatus, et cur homo homine opus habeat. Con. Mox, ὁμολογούμενον. M. 1.

θνητὸν ὁμολογουμένως, οὔτε ἀθάνατον γεγενῆσθαί φασιν· ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως, ἵνα, ἂν μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσι, περιπέσῃ καὶ ταῖς σωματικαῖς μεταβολαῖς· ἂν δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλὰ, τῆς ἀθανασίας ἀξιωθῇ. εἰ γὰρ ἐξ ἀρχῆς αὐτὸν θνητὸν ἐποίησεν ὁ Θεὸς, οὐκ ἂν ἁμαρτόντα θανάτῳ κατεδίκασε· τοῦ γὰρ θνητοῦ θνητότητα οὐδεὶς καταδικάζει· εἰ δ' αὖ πάλιν ἀθάνατον, οὐδ' ἂν τροφῆς αὐτὸν ἐνδεᾶ κατεσκεύασεν· οὐδὲν γὰρ τῶν ἀθανάτων τροφῆς σωματικῆς δεῖται· οὐδ' ἂν οὕτω ῥᾳδίως μετενόησε, καὶ τὸν γενόμενον ἀθάνατον θνητὸν εὐθέως ἐποίησεν· οὐδὲ γὰρ ἐπὶ τῶν ἁμαρτησάντων ἀγγέλων τοῦτο φαίνεται πεποιηκὼς, ἀλλὰ κατὰ τὴν ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλην τῶν ἡμαρτημένων ἀπεκδεχόμενοι δίκην,
16 ἀλλ' οὐ τὸν θάνατον. βέλτιον οὖν ἢ τοῦτον τὸν τρόπον νοεῖν τὸ προκείμενον, ἢ ὅτι θνητὸς μὲν κατεσκεύασθη, δυνάμενος δὲ, ἐκ προκοπῆς τελειούμενος, ἀθάνατος γενέσθαι, τουτέστι, δυνάμει ἀθάνατος. ἐπειδὴ δὲ οὐ συνέφερεν αὐτῷ πρὸ τῆς τελειώσεως γνῶναι τὴν φύσιν ἑαυτοῦ, ἀπηγόρευσεν αὐτῷ μὴ

VAR. LECT. ET ANIMADV.

ἀκολουθήσῃ] συνακολουθήσῃ. A. 2. Paullo ante, ἵνα ἐάν. A. 3.

ἐὰν δὲ τὰ τῆς ψυχῆς] ἂν, loco ἐάν. D. 1. A. 1. 2.

ἁμαρτόντα] ἁμαρτῶντα (ſic) D. 1.

οὐδ' ἂν τροφῆς αὐτὸν] οὐκ ἂν πάλιν τροφῆς αὐτὸν. D. 1. Ita πάλιν bis occurrit. Paullo ante οὖν, loco αὖ. M. 1. et hic, οὐδέν, loco οὐδ'.

εὐθέως ἐποίησεν] εὐθέως ἐποίει. D. 1. A. 1. 2. 3. Iſtud magis reſpondet τῷ μετενόησε. Mox omittit ἐπὶ A. 3.

τοῦτον τὸν τρόπον νοεῖν] nimirum, ὅτι εν μεθορίοις ἑκατέρας φύσεως γεγένηται. Ἢ, ante τοῦτον, non agnoſcit Con. Habet Vall.

ἡμαρτημένων] ἁμαρτησάντων. M. 1.

κατεσκεύαστο] κατεσκευάσθη. D. 1. A. 1. 2. in marg. Ant. κατεσκεύασται. A. 3.

συνέφερεν αὐτῷ] συνέφ. ἑαυτῷ. M. 1. A. 3.

τὴν φύσιν ἑαυτοῦ] τὴν φύσιν αὐτοῦ. D. 1. Moſes Barcepha T. I. p. 39. C. magnae bibliothecae Patrum edit. Pariſ. 1644. laudat quidem Numyſium Philoſophum Chriſtianum, ſed ea, quae ibi recitat, nec hic, nec alibi apud Nemeſium leguntur.

γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. ἦσαν γὰρ, μᾶλλον δὲ εἰσιν ἔτι καὶ νῦν δυνάμεις ἐν τοῖς Φυτοῖς μέγισται· τότε δὲ, ὡς ἐν ἀρχῇ τῆς κοσμοποιίας, ἀκραιφνεῖς οὖσαι, ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν. ἦν οὖν καὶ ἀπόγευσίς τινος καρποῦ, γνῶσιν ἐμποιοῦσα τῆς οἰκείας Φύσεως. οὐκ ἠβούλετο δὲ αὐτὸν ὁ Θεὸς πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν Φύσιν, ἵνα μὴ, γνοὺς ἑαυτὸν ἐνδεᾶ πολλῶν ὄντα, τῆς σωματικῆς ἐπιμεληθῇ χρείας, καταλιπὼν τὴν τῆς ψυχῆς πρόνοιαν. καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν μεταλαβεῖν τοῦ καρποῦ τῆς γνώσεως. παρακούσας δὲ καὶ γνοὺς ἑαυτὸν, τῆς μὲν τελειώσεως ἐξέπεσε, τῆς δὲ σωματικῆς χρείας ἐγένετο. σκέπασμα γοῦν εὐθέως ἐπεζήτει. Φησὶ γὰρ ὁ Μωϋσῆς, ὅτι γυμνὸς ὢν ἔγνω. πρότερον δὲ ἐν ἐκστάσει αὐτὸν ἐποίησε καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ. ἐκπεσὼν οὖν τῆς τελειώσεως, ἐξέπεσεν ὁμοίως καὶ τῆς ἀθανασίας, ἣν ὕστερον ἀναλήψεται χάριτι τοῦ ποιήσαντος αὐτόν. μετὰ δὲ τὴν ἔκπτωσιν καὶ ἡ τῶν κρεῶν ἀπόλαυ-

VAR. LECT. ET ANIMADV.

ἀπηγόρευσεν αὐτῷ μὴ γεύσασθαι] αὐτῷ omittunt A. 1. 2. Vall. μὴ omittit D. 1. Μὴ post ἀπαγορεύω modo additur, modo omittitur, ſenſu eodem. Aelian. varr. hiſt. 14, 31. ἀπηγόρευσέ μοι — λόγον δέξασθαι. Demoſth. pag. 1374. ἀπαγορεύουσιν οἱ νόμοι — μὴ εἰσιέναι. Loco γεύσασθαι habet γενέσθαι. M. 1.

οὐκ ἠβούλετο] οὐκ ἐβούλετο. D. 1. A. 1. 2.

μεταλαμβάνειν] μεταλαβεῖν. D. 1. A. 1. 2. 3. M. 1. Sic ſupra διαλαβεῖν, loco διαλαμβάνειν, p. 15.

ἐπεζήτει] ἐπεζήτησε. A. 1. 2. *Exquiſivit.* Vall.

γυμνὸς ὢν ἔγνω] γυμνός ἐστιν ἔγνω. A. 1. 2. Mox πρῶτον, loco πρότερον. M. 1.

καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ] *et in ſui cognitionem convertit.* Vall.

ἐκπεσὼν οὖν] γὰρ, loco οὖν. D. 1.

ἐξέπεσεν ὁμοίως] ὁμοίως abeſt D. 1. Mox μετὰ δὲ τὴν ἔκπτωσιν omittit Vall. Καὶ, ante ἡ τῶν κρεῶν, abeſt A. 3. Obiter noto, in eo exemplo editionis Antverpienſis, quod Mayus ad me miſit, legi κρεῖον, loco κρεῶν, quod eſt in meo exemplo. Ergo quaedam exempla inter imprimendum ſunt correcta. Id tamen rariſſime factum eſt.

σις αὐτῷ συνεχωρήθη. πρότερον μὲν γὰρ τοῖς ἀπὸ τῆς γῆς
μόνοις ἐκέλευσεν αὐτὸν ἀρκεῖσθαι· ταῦτα γὰρ ἦν ἐν τῷ παρα-
δείσῳ· ἀπεγνωσμένης δὲ τῆς τελειώσεως, τῇ συγκαταβάσει
17 λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως. ἐπειδὴ δὲ ἐκ σώ-
ματός ἐστιν ὁ ἄνθρωπος, πᾶν δὲ σῶμα ἐκ τῶν τεσσάρων
στοιχείων συνέστηκεν, ἀνάγκη τούτοις τοῖς πάθεσι περι-
πίπτειν αὐτὸν, οἷς καὶ τὰ στοιχεῖα, τομῇ καὶ μεταβολῇ
καὶ ῥεύσει, ἅπέρ ἐστι μόνου τοῦ σώματος. μεταβολῇ μὲν,
τῇ κατὰ ποιότητα· ῥεύσει δὲ, τῇ κατὰ κένωσιν. κενοῦται
γὰρ ἀεὶ τὸ ζῶον διά τε τῶν προδήλων πόρων καὶ τῶν ἀδήλων,
περὶ ὧν ὕστερον ἐροῦμεν. ἀνάγκη τοίνυν, ἢ τοῖς κενουμένοις
ἀντεισφέρεσθαι τὰ ἴσα, ἢ διαλύεσθαι τὸ ζῶον ἐνδείᾳ τῶν
ἐπεισιόντων. ξηρῶν δὲ ὄντων καὶ ὑγρῶν καὶ πνεύματος τῶν
κενουμένων, ἀνάγκη καὶ ξηρᾶς καὶ ὑγρᾶς τροφῆς δεῖσθαι τὸ
ζῶον καὶ πνεύματος. ἔστι δὲ ἡμῖν ἡ τροφὴ καὶ τὸ ποτὸν διὰ
τῶν στοιχείων, ἐξ ὧν καὶ συνέστημεν. ἕκαστον γὰρ τῷ μὲν
οἰκείῳ

VAR. LECT. ET ANIMADV.

αὐτῷ συνεχωρήθη] αὐτῷ deeſt. A. 1. 2.

πρότερον μὲν γὰρ] μὲν omittit D. 1.

ἀπὸ γῆς] ἀπὸ τῆς γῆς. A. 1. 2. M. 1. Paullo poſt deeſt ἐν ante τῷ. M. 1.

τῇ συγκαταβάσει λοιπὸν] κατὰ βασίλειον. Sic. Mira varietas. D. 1. τῇ συγκαταβάσει eſt *ex indulgentia dei.*

ἀνάγκη τούτοις τοῖς] ἀνάγκη τούτους τοῖς. A. 1. Et mox, αὐτὸν περιπίπτειν. Idem. *In easdem paſſiones.* Con.

μεταβολῇ μὲν] καὶ μεταβ. μὲν. A. 3.

τῇ κατὰ κένωσιν] τῇ κενώσει. D. 1. Poſt κένωσιν de ſuo quaedam, ut videtur, explicandi cauſſa addidit Con. Mox ἀεὶ omittit Vall.

καὶ διὰ τῶν ἀδήλων] διὰ abeſt. D. 1. A. 1. 2.

ἢ τοῖς κενουμένοις] τοὺς κενουμένους. A. 1. 2. ἢ abeſt. Vall. Mox, τὰ ἴσα. D. 1.

καὶ πνεύματος τῶν κενουμένων] καὶ πνευμάτων τῶν κενουμένων. D. 1. *Spiritibus.* Con. κινουμένων vitioſe. A. 3.

προσδεῖσθαι τροφῆς] τροφῆς δεῖσθαι. D. 1. A. 1. 2. 3. δεῖσθαι habet etiam M. 1.

ἐξ ὧν καὶ συνέστημεν] ἐξ ὧν καὶ συνεστήκαμεν. D. 1. quod eodem redit. Ἐξ ὧν καὶ συνετέθημεν. A. 1. 2. Συνέσταμεν habet M. 1. Idem paullo poſt θεραπεύεσθαι,

οἰκείῳ καὶ ὁμοίῳ τρέφεται· τῷ δὲ ἐναντίῳ θεραπεύεται. τῶν δὲ στοιχείων τὰ μὲν προςεχῶς τε ἅμα, τὰ δὲ καὶ διὰ μέσου τινῶν προςφερόμεθα, ὡς ὕδωρ ποτὲ μὲν καθ' ἑαυτὸ, ποτὲ δὲ καὶ διὰ μέσου τοῦ οἴνου καὶ τοῦ ἐλαίου καὶ πάντων τῶν καλουμένων ὑγρῶν καρπῶν. οὐδὲν γάρ ἕτερόν ἐστιν οἶνος, ἢ ὕδωρ ὑπ' ἀμπέλου πεποιωμένον· ὁμοίως δὲ καὶ πυρὸς μεταλαμβάνομεν, ποτὲ μὲν προςεχῶς ὑπ' αὐτοῦ θαλπόμενοι, ποτὲ δὲ διὰ μέσου ὧν ἐσθίομεν ἢ πίνομεν. ἐν πᾶσι γὰρ ἢ πλείων ἢ ἐλάττων μοῖρα τοῦ πυρὸς ἐγκατέσπαρται. τὸν αὐτὸν τρόπον καὶ τοῦ ἀέρος· προςεχῶς μὲν ἀναπνέοντες καὶ περικε-

VAR. LECT. ET ANIMADV.

τρέφεται — θεραπεύεται] veluti, ὑγρὰ ὑγροῖς τρέφεται, ὑγρὰ ξηροῖς θεραπεύεται.

προςεχῶς] ex oppoſito τοῦ διὰ μέσου apparet, προςεχῶς hoc loco eſſe idem, quod ἀμέσως. Reddi poſſit, ſolide, pure, nulla alia re miſtum et temperatum, ſeu contigue, ut ita dicam, et proxime. Compara infra pag. 21. 63. ubi ipſe explicat ἀμέσως. In verſione loco *partim proxime, partim*, dedi, *alia proxime, alia*.

τὰ δὲ καὶ διὰ μέσων] τὰ δὲ omittit, et μέσον, loco μέσων, habet D. 1. μέσου et hic praefero. Τὰ δὲ ſervat etiam Vall. Con. *Et ſimul*, quod habet Con. et, *ac ſimul*, quod habet Vall., omiſit Ellebodius. Hic locus autem ita videtur conſtituendus eſſe: τῶν δὲ στοιχείων τὰ μὲν (aquam, ignem, aêrem) προςεχῶς τε ἅμα καὶ διὰ μέσου τινῶν· τὸ δὲ (terram) διὰ μέσου τινῶν μόνον προςφερόμεθα. Hoc enim mox per partes docet. M. 1. habet προςφερόμενα.

καθ' ἑαυτὸ] καθαυτό. D. 1.

ὑγρῶν καρπῶν] Quod *fructus humidi*, ut mala, cucumeres etc. aquam continent.

ἕτερόν ἐστιν οἶνος] ἕτερον οἶνός ἐστιν. A. 1. 2.

ἐξ ἀμπέλου] ὑπ' ἀμπέλου. D. 1. A. 1. 2. et in marg. Ant. *Aqua ex vite* facta. Con. Aqua per vitem et palmites in acinos diffuſa. Vall.

διὰ μέσων ὧν ἐσθίομεν ἢ πίνομεν] μέσου, loco μέσων. D. 1. καὶ, loco ἤ. A. 1. Mox, μοῖρα. D. 1. et κατέσπαρται. M. 1. A. 3.

καὶ περικεχυμένον] καὶ omittit Con. et mox reliqua, omiſſo δὲ, conjungit. καὶ iſtud reddit *aut*, ſeu ἤ, Vall. Sic et proximum καὶ reddit. Mox etiam ante διὰ addit *aut*. *Nemeſ*.

χυμένον ἡμῖν ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν ἕλκον-
18 τες· διὰ μέσου δὲ τῶν ἄλλων πάντων, ὧν προςφερόμεθα.
τὴν δὲ γῆν προσεχῶς μὲν ἡμεῖς οὐδαμῶς· διὰ μέσου δέ τινων.
γῆ μὲν γὰρ σῖτος γίνεται· σῖτον δὲ ἡμεῖς ἐσθίομεν. κόρυδοι
μὲν γὰρ καὶ περιστεραὶ πολλάκις καὶ πέρδικες τὴν γῆν σι-
τοῦνται· ἄνθρωπος δὲ διὰ μέσου τῶν σπερμάτων καὶ τῶν
ἀκροδρύων καὶ τῶν σαρκῶν. ἐπειδὴ δὲ οὐ μόνον δι' εὐπρέ-
πειαν, ἀλλὰ καὶ δι' εὐαισθησίαν τὴν κατὰ τὴν ἁφὴν, ᾗ μά-
λιστα πλεονεκτεῖ πάντα τὰ ζῶα ὁ ἄνθρωπος, οὐ περιέθηκεν
ἡμῖν, οὔτε δέρμα παχὺ, ὡς τοῖς βουσὶ καὶ τοῖς ἄλλοις τοῖς
παχυδέρμοις, οὔτε τρίχας μεγάλας καὶ πυκνὰς, ὡς ταῖς
αἰξὶ καὶ τοῖς προβάτοις καὶ λαγωοῖς, οὔτε φολίδας, ὡς
τοῖς ὄφεσι καὶ τοῖς ἰχθύσιν, οὔτε ὄστρακα, ὡς ταῖς χελώ-
ναις καὶ τοῖς ὀστρέοις, οὔτε ἁπαλόστρακα, ὡς τοῖς καράβοις,
οὔτε πτέρυγας, ὡς τοῖς ὀρνέοις· ἀναγκαίως ἐσθῆτος ἐδεή-

VAR. LECT. ET ANIMADV.

διὰ μέσων δὲ τῶν ἄλλων πάντων] διὰ μέσου δὲ τῶν πάντων ἄλλων. Sed ἄλλων πάντων revocata ſunt in ſua loca per litteras α. β. D. 1. πάντως, loco πάντων. M. 1. A. 3.

διὰ μέσων δέ τινων] μέσου, loco μέσων, D. 1.

κόρυδοι] appellatur etiam κορυδαλὸς, κορυδαλλὸς et κορυδαλλίς. Latine *galerita*, *caſſita*, *alauda*. Ariſtot. hiſt. animal. IX, 25. VI, 1. Theocrit. Idyll. VII, 23. 141. X, 50.

τὴν γῆν σιτοῦνται] τὴν abeſt D. 1. Abeſſe poteſt.

καὶ τῶν σαρκῶν] τῶν abeſt. A. 1. 2.

ᾗ μάλιστα πλεονεκτεῖ πάντα] ᾗ μάλιστα πάντα. A. 1.

ταῖς αἰξὶ] abeſt M. 1. ταῖς αἰξὶ καὶ omittit A. 3.

καὶ τοῖς ἰχθύσιν] καὶ τοῖς ἰχθῦσιν. D. 1.

ἁπαλόστρακα] ἁπαλόσαρκα. A. 1. 2. *Teneram carnem.* Vall. Ariſtot. hiſt. animal. IV, 2. τῶν δὲ μαλακοστράκων ἓν μέν ἐστι τὸ γένος τὸ τῶν καράβων. Erotianus in gloſſis Hippocrat. p. 46. τοῖς ὀστρακοδέρμοις, οἷον καράβοις, καρκίνοις, κήρυξι. Con. qui interdum graeca verba retinet, haec ita reddidit: *neque* (nos circumdedit) *mollibus oſtracis*, *ut cancros et* ἀλεπιδώτους. Conjicere ergo aliquis poſſit, οὔτε λεπίδας, ὡς τοῖς λεπιδωτοῖς. Λεπιδωτοὶ ſunt piſces ſquamoſi. Eſt et ſpecies piſcis. Herodot. II, 72.

ὡς τοῖς καράβοις] ὡς ταῖς καράβοις. D. 1.

θημεν, τῆς ἀναπληρούσης ἐν ἡμῖν, ὅπερ ἡ Φύσις τοῖς ἄλ-
λοις ἐδωρήσατο. διὰ ταῦτα μὲν οὖν τροφῆς καὶ ἐσθῆτος
δεόμεθα· οἰκήσεως δὲ καὶ διὰ ταῦτα μὲν, δι' ἃ καὶ τροφῆς
καὶ ἐσθῆτος, ἐδεήθημεν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τῶν
θηρίων ἀποφυγάς· διὰ δὲ τὰς δυςκρασίας τῶν ποιοτήτων
καὶ τὴν λύσιν τῆς συνεχείας τοῦ σώματος ἰατρῶν καὶ θε-
ραπείας ἐν χρείᾳ κατέστημεν· τῆς δὲ μεταβολῆς κατὰ
ποιότητα γινομένης, ἀνάγκη διὰ τῆς ἀντικειμένης ποιότητος
εἰς τὸ σύμμετρον ἀγαγεῖν τὴν κατάστασιν τοῦ σώματος.
οὐ γὰρ, ὡς οἴονταί τινες, τὸ θερμανθὲν σῶμα καταψύξαι
πρόκειται τοῖς ἰατροῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταστῆσαι.
εἰ γὰρ καταψύξειαν, εἰς τὴν ἐναντίαν περιΐσταται νόσον ἡ 19.
διάθεσις. χρεία τοίνυν ἀνθρώπῳ τροφῆς μὲν καὶ ποτοῦ,
διὰ τὰς κενώσεις καὶ διαφορήσεις· ἐσθῆτος δὲ, διὰ τὸ
μηδεμίαν ἔχειν ἐκ Φύσεως ἰσχυρὰν περιβολήν· οἴκου δὲ,
διά τε τὰς δυςκρασίας τοῦ περιέχοντος καὶ διὰ τὰ θηρία·
θεραπείας δὲ, διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων καὶ τὴν
αἴσθησιν τὴν ἐνδοθεῖσαν τῷ σώματι. εἰ γὰρ μὴ προςῆν

VAR. LECT. ET ANIMADV.

τοῖς ἄλλοις] *caeteris animalibus.* Vall.

οἰκήσεως δὲ] ante οἰκήσεως insertum καί. A. 2.

ἐσθῆτος καὶ τροφῆς] τροφῆς καὶ ἐσθῆτος. D. 1. A. 2. Vall. Ab δι' ἃ ad ἐδεήθημεν omittit Con.

τῶν θηρίων ἀποφυγάς] τῶν θηρῶν ἀποφυγάς. D. 1. *Ut impetum ferarum possimus effugere.*

τῆς συνεχείας τοῦ σώματος] Con. *contemperati corporis.* Ac si legerit, τοῦ συγκεκραμένου σώματος. Συνέχειαν, id est, σύσφιγξιν, συνοχήν. *Compositionis.* Vall. Mox idem loco δὲ habet γάρ.

θερμανθὲν — μεταστῆσαι] θερμαθὲν — καταστῆσαι. A. 3.

περιΐσταται νόσον] περιστᾷ νόσον. A. 1. 2. *Perducetur.* Vall. Equidem conjiciebam, περιΐστατο ἂν, aut περιΐσταιτο ἂν νόσον.

διά τε τὰς δυςκρασίας] τε abest D. 1. τὸ περιέχον modo *aërem*, modo *coelum* notat, quae vocabula interdum etiam adduntur. *Circumfusi aëris.* Vall.

τὴν ἐνδοθεῖσαν] Forte, τὴν ἐντεθεῖσαν. Sensum autem h. l. dicit eum, quo dolores ex affectis corporis membris percipimus.

ἡμῖν αἴσθησις, οὔτ' ἂν ἠλγοῦμεν, οὔτ' ἂν θεραπείας ἐδεήθημεν μὴ ἀλγοῦντες, καὶ διεφθάρημεν ἄν, ἐν ἀγνωσίᾳ τοῦ κακοῦ τὸ πάθος οὐκ ἰώμενοι. διὰ δὲ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς ἀπὸ τούτων χρείας ἀλλήλων δεόμεθα. διὰ δὲ τὸ δεῖσθαι ἀλλήλων, εἰς ταὐτὸ πολλοὶ συνελθόντες κοινωνοῦμεν ἀλλήλοις κατὰ τὰς τοῦ βίου χρείας ἐν τοῖς συναλλάγμασιν, ἥντινα σύνοδον καὶ συνοικίαν πόλιν ὠνομάσαμεν, ἵνα ἐγγύθεν καὶ μὴ πόῤῥωθεν τὰς παρ' ἀλλήλων ὠφελείας καρπώμεθα. Φύσει γὰρ συναγελαστικὸν καὶ πολιτικὸν ζῶον γέγονεν ὁ ἄνθρωπος. εἷς γὰρ οὐδεὶς αὐτάρκης ἑαυτῷ πρὸς ἅπαντα. δῆλον οὖν, ὡς αἱ πόλεις διὰ τὰ συναλλάγματα καὶ τὰ μαθήματα συνέστησαν. δύο δὲ τούτων πρεσβείων ὁ ἄν-

VAR. LECT. ET ANIMADV.

ἡμῖν ἡ αἴσθησις] ἡ abeſt D. 1. A. 1. 2. 3. Articulus hoc quidem loco abeſſe et adeſſe poteſt.

ἐδεήθημεν· μὴ ἀλγοῦντες δὲ διεφθάρημεν] ἐδεήθημεν μὴ ἀλγοῦντες;, καὶ διεφθάρημεν. D. 1. A. 1. 2. 3. Ita quoque Vall. videtur legiſſe.

τοῦ κακοῦ] h. e. τῆς νόσου. Mox deeſt οὐκ. M. 1. A. 3.

χρείας, ἀλλήλων δεόμεθα· διὰ δὲ τὸ] χρείας ἀλλήλων ἐδεήθημεν καὶ δεόμεθα· διὰ δὲ τό. D. 1. ἀλλήλων abeſt. Con.

τὰς τοῦ βίου χρείας] Ita D. 1. A. 2. Sed, τὰς ἐν τῷ βίῳ χρείας. A. 1. et marg. Ant. Συναλλάγματα ſunt omnis generis commercia, quae intercedunt inter homines. Alibi *contractus* notat. Sic reddidit Vall.

συνοικίαν] πολιτικὴν συνοικίαν. M. 1.

ὠνομάσαμεν] ὠνόμασαν. A. 1. 2. et marg. Ant. Mox, ἵν' ἐγγύθεν. D. 1. *Majores noſtri nominarunt.* Vall.

πόῤῥωθεν τὰς ὠφελείας] πόῤῥωθεν τὰς παρ' ἀλλήλων ὠφελείας. D. 1. A. 1. 2. *Mutuas* habet Con. *Invicem inter nos*, Vall.

συναγελαστικὸν] *riſibile*. Vall. Γελαστικὸν prorſus alienum. Sed infra occurrit p. 20.

ζῶον γέγονεν ὁ ἄνθρ.] γέγονεν abeſt. D. 1.

δύο δὲ τούτων] Hic incipit cap. 3. libri 1. apud Con. Index eſt: De praerogativis duabus hominis, quibus praeditus eſt. Reparari per poenitentiam in animo. Et corpus mortale tandem fieri immortale. Et de finitione hominis. Δύο, *ideo*, Vall. Ergo διό.

θρωπος ἐξαιρέτων ἔτυχε. καὶ γὰρ μόνος οὗτος συγγνώμης τυγχάνει μετανοῶν, καὶ τὸ σῶμα τούτου μόνου θνητὸν ὂν ἀπαθανατίζεται, καὶ τοῦ μὲν σωματικοῦ, διὰ τὴν ψυχὴν, τοῦ δὲ ψυχικοῦ, διὰ τὸ σῶμα. μόνος γὰρ ὁ ἄνθρωπος τῶν λογικῶν ἐξαίρετον ἔσχε τὸ συγγνώμης ἐν τῷ μετανοεῖν ἀξιοῦσθαι. οὔτε γὰρ δαίμονες, οὔτε ἄγγελοι μετανοήσαντες συγγνώμης ἀξιοῦνται. καὶ ἐν τούτῳ μάλιστα καὶ δίκαιος καὶ ἐλεήμων ὁ Θεὸς δείκνυταί τε καὶ λέγεται. τοῖς μὲν γὰρ ἀγγέλοις, μηδὲν ἔχουσιν ἐπανάγκασμα περιέλκον εἰς ἁμαρτίαν, ἀλλ' ἐλευθέροις οὖσιν ἐκ φύσεως τῶν σωματικῶν παθῶν τε καὶ χρειῶν καὶ ἡδονῶν, εἰκότως οὐδεμία δίδοται συγγνώμη μετανοοῦσιν· ὁ δὲ ἄνθρωπος, οὐ μόνον ἐστὶ λογικὸν, ἀλλὰ καὶ ζῶον. αἱ δὲ χρεῖαι τοῦ ζώου καὶ τὰ πάθη πολλάκις περιέλκουσι τὸν λογισμόν. ὅταν οὖν ἀνανήψας ἀποφύγῃ μὲν ταῦτα, χωρήσῃ δὲ ἐπὶ τὰς ἀρετὰς, ἐλέου δικαίου τυγχάνει, τῆς συγγνώμης. καὶ ὥσπερ ἴδιόν ἐστι τῆς οὐσίας αὐτοῦ τὸ γελαστικὸν, ἐπειδὴ καὶ μόνῳ τούτῳ πρόσεστι καὶ παντὶ καὶ ἀεί· οὕτως ἐν τοῖς κατὰ χάριν ἴδιον ἀνθρώπου παρὰ πᾶσαν τὴν λογικὴν κτίσιν, τὸ διὰ τῆς μετανοίας ἀποδύεσθαι τῶν προημαρτημένων τὰς αἰτίας. καὶ γὰρ μόνῳ

VAR. LECT. ET ANIMADV.

ἐξαιρέτως] ἐξαιρέτων. D. 1. A. 1. 2. et marg. Ant. *Conſolationibus praecipuis.* Con. Ac ſi legerit, παραμυθίων. Πρεσβεῖα ſunt *Vorzüge.* *Praecipuas dignitates*, Vall.

μόνος γὰρ ὁ ἄνθρωπος] ὁ abeſt. D. 1. A. 3.

μετανοήσαντες] μετενοήσαντο ἤ. M. 1. μετανοοῦντες. A. 1. 2. et marg. Ant.

δίκαιος καὶ ἐλεήμων] ἐλεήμων καὶ δίκαιος. D. 1.

δείκνυταί τε καὶ] τε abeſt. D. 1. A. 1. 2.

αἱ δὲ χρείαι] αἱ δὲ χρεῖαι. D. 1. Mox πολλὰ, loco πολλάκις. M. 1. αἱ δὲ χρείαι τοῦ ζώου καὶ τὰ πάθη πολλὰ, (intellige ἐστὶ) καὶ περιέλκ. A. 3. Sic fortaſſe voluit etiam M. 1.

ἐλεοῦς (Sic. Voluit ἐλέους.) δικαίου] ἐλέου δικαίου. D. 1. A. 1. 2. *Ex miſericordia juſte potitur venia.* Con. τυγχάνειν μετανοίας συγγνώμης. M. 1.

πρόσεστι καὶ παντὶ] καὶ abeſt. A. 1. punctis notatum. A. 2.

διὰ τῆς μετανοίας] τῆς abeſt. A. 2.

ἀπολύεσθαι τῶν προημαρτημένων τῆς αἰτίας] ἀποδύεσθαι τῶν προημ.

ἀνθρώπῳ τοῦτο δεδώρηται καὶ παντὶ καὶ ἀεὶ παρὰ τὸν καιρὸν τῆς ἐγκοσμίου ζωῆς· μετὰ δὲ τὸν θάνατον οὐκέτι. οὕτω δέ τινες καὶ τοὺς ἀγγέλους βούλονται μηκέτι μετὰ τὴν ἔκπτωσιν τυγχάνειν τῆς ἐκ μετανοίας συγγνώμης· θάνατος

VAR. LECT. ET ANIMADV.

προημ. τὰς αἰτίας. A. 1. 2. 3. τὰς αἰτίας habet etiam D. 1. *Exui*. Con. *Cauſas exuere*. Vall. Mox, τούτῳ δεδώρηται. A. 2. τὰς αἰτίας ἀπολύεσθαι habet Dionyſ. Halicarn. T. II. p. 87. v. 15. Maximus Tyr. p. 498. Sed nec minus uſitatum eſt ἀποδύεσθαι τὴν αἰτίαν, τὰ ἐγκλήματα. v. Alciphr. p 444. Chryſoſt. de Sacerdot. p. 70. Atque ita infra Nemeſius p. 61. Τῆς αἰτίας etiam habere locum poteſt, ſi ἀπολύεσθαι paſſive accipiatur. Iſocrat. p. 7. σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύειν. et p. 105. ἀπολύειν τινὰ τῶν ἁμαρτιῶν.

μετὰ δὲ θάνατον] μετὰ δὲ τὸν θάνατον. D. 1.

καὶ τοὺς ἀγγέλους] καὶ τοῖς ἀγγέλοις. A. 1. 2.

θάνατος] ἀθάνατος. M. 1. A. 3. Sententia valde impedita eſt. Id autem apparet, Nemeſium nunc non ſuam, ſed aliorum ſententiam exponere. Illi ergo ita ſtatuebant: Homines poſt mortem nullam veniam conſequuntur: atqui angelorum ἔκπτωσις mors eſt, nimirum ψυχικὴ ἤτοι ἠθική· ergo nullam veniam conſequuntur. Hoc ergo firmat lectionem θάνατος. Nemeſius ipſe hactenus docuit, angelos omni omnino venia carere. Liberi enim ſunt corporis vinculis, nec rerum externarum viciſſitudinibus afficiuntur. Nulla ergo eis ab his ad peccatum ſunt incitamenta. Supra vero etiam (p. 15. fin.) docuit, mori eos non poſſe. (Ἄλλην τῶν ἡμ. — οὐ τὸν θάνατον.) Qui tamen hic ἀθάνατος probant, ii explicare debent ἀμετανόητος. Sed alia contra hanc lectionem et interpretationem oritur diſputatio, quod paullo poſt additur: πρὸ δὲ τῆς ἐκπτώσεως κ. τ. λ. Nam δὲ disturbat hanc ſententiam, adeo, ut aut alii, aut Nemeſius hic videatur incepiſſe loqui. Sed neutrum eſt. Iidem enim pergunt. Modo ergo, loco δὲ, legatur γὰρ, quae, quod ſiglis in Codicibus ſcribuntur, facile confunduntur. Pergunt ergo iſti ſic: Mortem diximus angelorum ἔκπτωσιν. Etenim ante iſtam ἔκπτωσιν, cum ſolum eſſent ἐν πτώσει, ſimili modo, ſicuti homines διὰ τὴν μετάνοιαν peccatorum poterant conſequi veniam. Cum vero hoc non feciſſent, h. e. διότι δὲ οὐ μετενόησαν, aeternam poenam ſeu mortem ſuſtinent.

γὰρ τούτων ἡ ἔκπτωσις· πρὸ δὲ τῆς ἐκπτώσεως, καθ' ὁμοιότητα τῆς ζωῆς τῆς τῶν ἀνθρώπων, καὶ αὐτοὺς ἀξιοῦσθαι συγγνώμης· ὅπερ μὴ ποιήσαντες, ἀσύγγνωστον καὶ διαιωνίζουσαν ἔχουσι τὸ λοιπὸν τῆς τιμωρίας τὴν προσήκουσαν δίκην. δῆλον οὖν ἐκ τούτων, ὡς οἱ τὴν μετάνοιαν οὐ δεχόμενοι τὴν ἐξαίρετον δωρεὰν καὶ τὴν ἰδίαν ἀνθρώπου περιγράφουσιν. ἴδιον δὲ αὐτοῦ καὶ ἐξαίρετον καὶ τὸ μόνον τῶν 21
ἄλλων ζώων τὸ τούτου σῶμα μετὰ θάνατον ἀνίστασθαι καὶ εἰς ἀθανασίαν χωρεῖν· τυγχάνει δὲ τούτου, διὰ τὴν τῆς ψυχῆς ἀθανασίαν, ὥσπερ ἐκείνου, διὰ τὴν τοῦ σώματος ἀσθένειάν τε καὶ πολυπάθειαν. ἴδια δὲ αὐτοῦ καὶ τὰ τῶν τεχνῶν τε καὶ ἐπιστημῶν μαθήματα, καὶ αἱ κατὰ τὰς τέχνας ταύτας ἐνέργειαι. δι' ὃ καὶ τὸν ἄνθρωπον ὁρίζονται, ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ζῶον μὲν, ὅτι καὶ ὁ ἄνθρωπος οὐσία ἐστὶν ἔμψυχος, αἰσθητική. οὗτος γὰρ ὅρος ζώου. λογικὸν δὲ, ἵνα χωρισθῇ τῶν ἀλόγων· καὶ θνητὸν, ἵνα χωρισθῇ τῶν ἀθανάτων λογικῶν. τὸ δὲ, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὅτι διὰ μαθήσεως προσγίνονται ἡμῖν αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι, ἔχουσι μὲν δύναμιν δεκτικὴν καὶ τοῦ νοῦ καὶ τῶν τεχνῶν, τὴν δὲ ἐνέργειαν κτωμένοις ἐκ τῶν μαθημάτων. λέγουσι δὲ τοῦτο τῷ

VAR. LECT. ET ANIMADV.

τῆς ζωῆς τῶν ἀνθρώπων] τῆς ζωῆς τῆς τῶν ἀνθρώπων. D. 1. A. 1. 2.

ὅπερ μὴ ποιήσαντες] h. e. μὴ μετανοήσαντες.

διαιωνίζουσαν ἔχουσι τὸ λοιπὸν] διαιων. τὸ λυπηρόν. A. 2. Paullo poſt, ante δεχόμενοι, deeſt οὐ. M. 1.

καὶ μόνον τῶν ἄλλων] καὶ τὸ μόνον τῶν ἄλλων. D. 1. A. 1. 2. 3. M. 1. Τὸ refertur ad ἀνίστασθαι et χωρεῖν.

τυγχάνει δὲ τούτου — ὥσπερ ἐκείνου] τούτου i. e. τῆς ἀθανασίας· ἐκείνου i. e. τῆς συγγνώμης.

δι' ὃ καὶ τὸν] διὸ καὶ τόν. D. 1. M. 1. A. 3.

ἔμψυχος αἰσθητικὴ] poſt ἔμψυχος credo deletum eſſe καί. D. 1.

οὗτος γὰρ ὅρος] οὗτος γὰρ ὁ ὅρος, A. 2. Paullo poſt, τῶν ἄλλων ἀλόγων. M. 1.

ἐπιστήμαι] ἐπιστῆμαι. D. 1. A. 1. 2. αἱ ante ἐπιστῆμαι abeſt. A. 3. Mox idem: δεκτικόν.

λέγουσι δὲ τοῦτο] λέγουσι τ τούτῳ. Sic. A. 1. λέγουσι μὲν τούτῳ. M. 1.

ὅρῳ προςτεθῆναι ὕστερον. ἐῤῥῶσθαι μὲν γὰρ καὶ χωρὶς
τούτου τὸν ὅρον· ἀλλ' ἐπειδὴ καὶ νύμφας καὶ ἄλλά τινα
γένη δαιμόνων τινὲς εἰςάγουσι, πολυχρόνια μὲν, οὐ μὴν
ἀθάνατα, ἵνα καὶ ἀπὸ τούτων διαστείλωσι τὸν ἄνθρωπον,
προςέθηκαν τὸ, νοῦ καὶ ἐπιστήμης δεκτικόν. οὐδὲν γὰρ
ἐκείνων μανθάνει, ἀλλὰ φύσει οἶδεν, ἃ οἶδεν. Ἑβραίων
δὲ δόγμα, τὸ πᾶν τοῦτο διὰ τὸν ἄνθρωπον γεγενῆσθαι·
προςεχῶς μὲν δι' αὐτὸν, οἷον νωτοφόρα καὶ βόας τοὺς πρὸς
γεωργίαν· χόρτον δὲ, διὰ ταῦτα. τῶν γὰρ γενομένων τὰ
μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ δι' ἄλλα. δι' ἑαυτὰ μὲν, τὰ
22 λογικὰ πάντα· δι' ἕτερα δὲ, τά τε ἄλογα καὶ τὰ ἄψυχα.
εἰ δὲ ταῦτα δι' ἄλλα γέγονε, διὰ ποῖα γέγονε, σκοπήσωμεν.
ἆρ' οὖν δι' ἀγγέλους; ἀλλ' οὐκ ἄν τις εὖ φρονῶν εἴποι δι'
ἀγγέλους αὐτὰ γεγενῆσθαι. τὰ γὰρ δι' ἄλλα γενόμενα,
πρὸς σύστασιν ἐκείνων καὶ διαμονὴν καὶ ἄνεσιν γέγονεν. ἢ

VAR. LECT. ET ANIMADV.

ἐῤῥῶσθαι μὲν γὰρ] μὲν abest. D. 1. Mox post *nymphas* addit, *Faunosque*, Con. Δαιμόνων omittit Vall. Τῶν, ante δαιμόνων, addit M. 1.

ἑβραίων δὲ] Hic incipit libri 1. cap. 4. apud Con. Index est: Omnia propter hominem facta, alia vero aliorum gratia, ad usum tamen hominis.

νωτοφόρα] i. e. ζῶα, ut equi, asini. *Dossuaria animalia.* Mox διὰ ταῦτα refertur ad ζῶα.

τῶν γὰρ γενομένων] antea, credo, fuerat γοῦν, loco γάρ. D. 1. Χόρτον δὲ διὰ ταῦτα absunt. Con.

τὰ δὲ δι' ἄλλα] τὰ δὲ δι' ἕτερα, ut mox. D. 1.

διὰ ποῖα γέγονε] absunt. A. 1. 2. Habet Con.

αὐτὰ γεγενῆσθαι] ταῦτα γεγενῆσθαι. D. 1. Mox idem et M. 1. γινόμενα.

καὶ ἄνεσιν] Ab hoc loco ita habet Cono: *et successionem constituta sunt, escae videlicet, tegminis, curationis aut motus et quietis aut successionis secundum genus gratia.* Διαδοχῆς ergo bis, διαγωγῆς vero et ἀναπαύσεως inepte reddidit. Vocabulis διαγωγῆς et ἀναπαύσεως Nemesius explicat superius ἄνεσιν. Διαγωγὴ enim h. l. *vitae oblectamenta* notat, *angenehmen Umgang*, *angenehme Unterhaltung*, *Zeitvertreib*, *Ergötzungen*. Infra p. 25. τέρψιν καὶ ἄνεσιν jungit. Aristot. Eth. ad Nicomach. IV, 8. οὔσης δὲ καὶ ἀναπαύσεως ἐν τῷ βίῳ καὶ ἐν ταύτῃ διαγωγῆς

γὰρ τῆς διαδοχῆς τοῦ γένους ἕνεκεν, ἢ τροφῆς, ἢ σκέπης, ἢ θεραπείας, ἢ διαγωγῆς καὶ ἀναπαύσεως. ἄγγελος δὲ τούτων οὐδενὸς δεῖται. οὔτε γὰρ διαδοχὴν ἔχει γένους, οὔτε τροφῆς ἐνδεής ἐστι σωματικῆς, οὔτε σκέπης, οὔτε τῶν ἄλλων· εἰ δὲ μὴ ἄγγελος, δῆλον, ὡς οὐδὲ ἄλλη τις φύσις ὑπεραναβεβηκυῖα τὸν ἄγγελον. ὅσῳ γὰρ ὑπέρκειται, τοσούτῳ μᾶλλον αὐτῇ καὶ τὸ ἀνενδεὲς πρόσεστι. ζητητέον οὖν φύσιν, λογικὴν μὲν, ἐνδεᾶ δὲ τῶν προειρημένων. τίς οὖν ἑτέρα τοιαύτη φανείη παραλιπόντων ἡμῶν τὸν ἄνθρωπον; οὐκοῦν συνάγεται, διὰ τοῦτον τά τε ἄλογα καὶ τὰ ἄψυχα γεγενῆσθαι. ἐπειδὴ τοίνυν δι' αὐτὸν, ὡς ἐδείχθη, γέγονε, διὰ τοῦτο καὶ ἄρχων αὐτῶν κατέστη. ἄρχοντος δὲ ἔργον, πρὸς μέτρον χρείας τοῖς ἀρχομένοις κεχρῆσθαι, καὶ μὴ πρὸς ἡδυπάθειαν ἀκολάστως ἐξυβρίζειν, μηδὲ φορτικῶς καὶ

VAR. LECT. ET ANIMADV.

γωγῆς μετὰ παιδιᾶς. et X, 6. καταφεύγουσι δ' ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν εὐδαιμονιζομένων οἱ πολλοί. διὸ παρὰ τοῖς τυράννοις εὐδοκιμοῦσιν οἱ ἐν ταῖς τοιαύταις διαγωγαῖς εὐτράπελοι.

καὶ ἀναπαύσεως] *aut* requiei. Vall.

τούτων οὐδενὸς] οὐδενὸς τούτων. A. 1. 2.

εἰ δὲ μὴ ἄγγελος] intellige, τούτων δεῖται.

δῆλον, ὡς οὐδὲ ἄλλη] οὐδ', loco οὐδέ. D. 1.

τῶν ἀγγέλων] τὸν ἄγγελον. D. 1. A. 1. 2. 3. *Angelum.* Con. Vall. ὑπεραναβεβηκὼς est *fuperior*, *excellentior*. Senfu proprio Zofimus p. 229. τὰς ἄλπεις ὑπεραναβῆναι. Gregor. Nazianz. p. 234. τὴν κτίσιν ὑπεραναβῆναι et ὑπεραναβὰς τὸ σῶμα τῆς ταπεινώσεως. p. 176. ὑπεραναβεβηκότες τὴν τῶν πολλῶν ταπεινότητα. Cinnamus p. 72. κόμητα δοὺξ ὑπεραναβέβηκεν, *Dux Comite eft fuperior.*

μᾶλλον καὶ τὸ ἀνενδεὲς αὐτῇ] μᾶλλον αὐτῇ καὶ τὸ ἀνενδεές. D. 1. A 1. 2.

παραλιπόντων] παραλειπόντων. D. 1. Mox idem, οὐκ οὖν, loco οὐκοῦν. Male. *An non.* Vall.

ἄψυχα καὶ τὰ ἄλογα] ἄλογα καὶ τὰ ἄψυχα. D. 1. A. 1. 2. Con. Vall.

ἄρχων αὐτῶν] ἄρχων τῶν αὐτῶν. M. 1.

τοῖς ἀρχομένοις χρῆσθαι] τοῖς ἀρχ. κεχρῆσθαι. D. 1. A. 1. 2. M. 1. κεχρεῖσθαι vitiofe. A. 3.

μηδὲ φορτικῶς] μήτε φορτικῶς. D. 1.

ἐπαχθῶς προσφέρεσθαι τοῖς ἀρχομένοις. ἁμαρτάνουσι τοίνυν, ὅσοι τοῖς ἀλόγοις οὐκ εὖ κέχρηνται. οὐ γὰρ ποιοῦσιν ἄρχοντος ἔργον, οὐδὲ δικαίου, κατὰ τὸ γεγραμμένον, δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. ἀλλ' ἴσως ἐρεῖ τις, ὡς οὐδὲν δι' ἄλλο, ἀλλ' ἕκαστον δι' ἑαυτὸ γέγονεν. οὐκοῦν, χωρίσαντες πρῶτον τὰ ἔμψυχα ἀπὸ τῶν ἀψύχων, ἴδωμεν, εἰ
23 δύναται τὰ ἄψυχα δι' ἑαυτὰ γεγενῆσθαι. εἰ γὰρ ταῦτα δι' ἑαυτὰ, πῶς ἢ πόθεν τραφήσεται τὰ ζῶα; ὁρῶμεν γὰρ τὴν φύσιν ἐπιχορηγοῦσαν τοῖς ζώοις τροφὰς ἐκ τῆς γῆς καρπῶν τε καὶ φυτῶν, πλὴν ἐλαχίστων τῶν σαρκοφάγων. καὶ αὐτὰ δὲ ταῦτα τὰ σαρκοφάγα τροφὴν ποιεῖται τῶν ζώων τὰ τὴν γῆν νεμόμενα, ὡς λύκοι μὲν καὶ λέοντες ἄρνας καὶ αἶγας καὶ σύας καὶ ἐλάφους· ἀετοὶ δὲ πέρδικας καὶ φάσσας καὶ λαγωοὺς καὶ τὰ ὅμοια, ἅτινα τοὺς καρποὺς τῆς γῆς νέμεται.

VAR. LECT. ET ANIMADV.

ἀρχομένοις. ἁμαρτάνουσι τοίνυν] ἀρχομένοις ἁμαρτάνουσι. τοίνυν. Et in marg. a man. rec. γράφεται καὶ οὕτως· μήτε φορτικῶς καὶ ἐπαχθῶς προσφέρεσθαι τοῖς ἀρχομένοις. ἁμαρτάνουσι τοίνυν, ὅσοι τοῖς ἀλόγοις οὐκ εὖ κέχρηνται. οὐ γὰρ ποιοῦσι καὶ τὰ ἑξῆς. D. 1.

οὐ γὰρ ποιοῦσιν] γὰρ raſura deletum credo, certe ſpatium vacuum eſt. D. 1. *Nec faciunt*. Vall. Mox οὐδὲ δικαίου, κατὰ τὸ γεγραμμένον omittit. A 3.

κτηνῶν αὐτοῦ] κτηνῶν αὐτοῦ. D. 1. A. 3. Ox. Poſt haec ita pergit Cono: *At dicat forte aliquis, cum propter hominem facta ſint omnia, nunquid aliorum quoque gratia facta ſint quaedam?*

ἀλλ' ἕκαστον δι' ἑαυτὸ] ἀλλ' ἓν ἕκαστον δι' ἑαυτό. D. 1. Idem mox, οὐκοῦν, ſed deleto ſpiritu leni in οὐν. Deinde proximum τὰ abeſt A. 3.

τροφὰς τοῖς ζώοις] τοῖς ζώοις τροφάς. D. 1. A. 1. 2. 3.

ἐλαχίστων] ὀλίγων. D. 1. Intellige ζώων, praeter animalia pauciſſima carnivora, exceptis animalibus pauciſſimis, quae carnibus veſcuntur. *Exceptis* quibusdam, Vall.

σαρκοφάγων] σαρκοβόρων. Sed mox ſervat σαρκοφάγα. A. 2. Mox conſtrue: τροφὴν ποιεῖται τὰ νεμόμενα τῶν ζώων.

καὶ αἶγας] καὶ abeſt. D. 1.

τῆς γῆς νέμεται] τῆς γῆς νέμονται. D. 1.

καὶ γὰρ τῶν ἰχθύων ἡ φύσις, ἀλληλοφάγος οὖσα, οὐ μέχρι πάντων διήκει σαρκοφαγοῦσα, ἀλλὰ κατέληξεν ἐν τοῖς νεμομένοις φυκία καὶ ἄλλά τινα ἐν τῷ ὕδατι φυόμενα. εἰ γὰρ ἦν πάντα τὰ γένη τῶν ἰχθύων σαρκοφάγα, καὶ μηδὲν ἦν ἐκφεῦγον τὴν τῆς σαρκὸς σίτησιν, οὐκ ἂν οὐδὲ ἐπ' ὀλίγον ἐπήρκεσεν, ἀλλὰ διεφθάρη, τὰ μὲν ὑπ' ἀλλήλων, τὰ δὲ διὰ τροφῆς ἔνδειαν. ἵνα δὲ τοῦτο μὴ γένηται, τινὲς τῶν ἰχθύων κατεσκευάσθησαν σαρκῶν μὲν ἀπεχόμενοι, τὴν δὲ, ὡς ἂν τις εἴποι, θαλασσίαν βοτάνην νεμόμενοι, ἵνα ἐκ τούτων καὶ τὰ ἄλλα διασώζηται. γίνεται γὰρ βορὰ μὲν τούτων τὰ φυκία, ἐκεῖνα δὲ τῶν ἄλλων, καὶ πάλιν ταῦτα τῶν ἄλλων, ὡς διὰ τὴν τῶν τελευταίων τροφὴν, ἀδιαλείπτως ἐκ τοῦ γεώδους τοῦ κατὰ τὴν θάλασσαν παρεχομένην, καὶ τὴν τῶν ἄλλων ὑπόστασιν σώζεσθαι. ἀπέδειξεν οὖν ὁ λόγος, τὴν τῶν φυτῶν γένεσιν μὴ δι' ἑαυτὴν, ἀλλ' εἰς τροφὴν καὶ σύστασιν τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων γεγενημένην. εἰ δὲ ταῦτα διὰ τὸν ἄνθρωπον καὶ τὰ ζῶα, δῆλον ὡς καὶ τὰ

VAR. LECT. ET ANIMADV.

οὐ μέχρι — σαρκοφαγοῦσα, ἀλλά] abſunt. A. 1. 2. Non ad omnes pertinet carnes vorans, i. e. non omnes omnino piſces carnes vorant. Nota autem eſt periphraſis, ἡ φύσις τῶν ἰχθύων, loco οἱ ἰχθύες.

φύκια] φυκία. D. 1. A. 1. 2. Sic et mox. Vide ſcholia ad Theocrit. Idyll. VII, 58. Utitur hoc Plato p. 469. Arrianus in Indicis p. 355. Ariſtot. hiſt. animal. VI, 13. τούτῳ (τῷ φυκίῳ) τρέφεται τὰ ἰχθύδια.

ἐν τῷ ὕδατι φυόμενα] ἐν τῷ ὕδατι νεμόμενα. A. 1. Mox, σαρκοφάγα reddidit Vall. *ſe invicem comedant.* Ergo ἀλληλοφάγα. Deinde, ἐκφεύγον. D. 1. et, οὐδ' ἐπ' ὀλίγον. Idem.

μὴ τοῦτο γένηται] τοῦτο μὴ γένηται. D. 1. δὲ, ante μὴ, abeſt. M. 1.

θαλασσίαν βοτάνην] θαλασσείαν (ſed jota ex correctione ſupra ſcriptum). βοτάνην. D. 1. *Marinam, ut ita dicam, herbarum et* φύτια edentes. Con. Voluit, *herbam et* φυκία. Mox τὰ, ante ἄλλα, abeſt. M. 1.

καὶ πάλιν ταῦτα τῶν ἄλλων] abſunt. D. 1. Habet Con. Vall.

σύστασιν τῶν ἀνθρώπων] τῶν abeſt. M. 1. D. 1. A. 3. Σύστασιν, *ornamentum.* Vall.

24 τῆς τούτων αὐξήσεως καὶ γενέσεως αἴτια διὰ ταῦτα γέγονεν. οὐκοῦν ἀστέρων κινήσεις καὶ οὐρανὸς καὶ ὧραι καὶ ὄμβροι καὶ πάντα τὰ τοιαῦτα διὰ ταῦτα γέγονεν, ἵνα τῶν τροφῶν, ὡς ἐν κύκλῳ, διηνεκῶς χορηγουμένων, ἀνελλιπὴς καὶ ἡ τῶν προσφερομένων τοὺς καρποὺς διαμείνῃ φύσις· ὡς εὑρίσκεσθαι, ταῦτα μὲν διὰ τοὺς καρποὺς, τοὺς δὲ καρποὺς διὰ τὰ ζῶα καὶ τὸν ἄνθρωπον. λοιπόν ἐστιν ἐπιδιασκέψασθαι, πότερον καὶ ἡ τῶν ἀλόγων φύσις δι' ἑαυτὴν γέγονεν, ἢ διὰ τὸν ἄνθρωπον. ἀλλ' ἴσως ἄτοπον, τὰ φρονήσεως ἄμοιρα, καὶ καθ' ὁρμὴν φυσικὴν μόνην ζῶντα, καὶ πρὸς γῆν κάτω κεκυφότα, καὶ τὴν δουλείαν διὰ τοῦ σχήματος ἐνδεικνύμενα, λέγειν δι' ἑαυτὰ παρῆχθαι. πολλῶν δὲ ὄντων τῶν ἐνδεχομένων εἰς τοῦτο ῥηθῆναι, καὶ σχεδὸν ἰδίας συγγραφῆς διὰ τὸ πλῆθος δεομένων, μὴ χωρούσης τῆς προκειμένης ὑποθέσεως τὸ μῆκος τῶν λόγων, ἐπὶ τὰ σύντομα μὲν, καίρια δὲ καταντῆσαι προσήκει. εἰ τοίνυν, ὡς ἐν εἰκόνι, τῷ ἀνθρώπῳ, καὶ τὰ τῶν ἔξωθεν ἐσοπτρισθείημεν, ἐξ αὐτῆς ἂν εἴημεν τῆς

VAR. LECT. ET ANIMADV.

οὐκοῦν ἀστέρων] Ab οὐκοῦν ad ταῦτα γέγονεν omittit A. 3. οὐκοῦν rurſus ex correct. ut antea. D. 1. οὖν ἀστέρων. M. 1.

καὶ ὄμβροι] Abeſt M. 1. in marg. a man. rec. additum D. 1. *Et nubes*. Con. *Et imbres*. Vall.

διαμείνῃ φύσις] διαμένῃ φύσις. A. 2. Ab ὡς ad τοὺς καρποὺς abeſt. Vall.

δι' ἑαυτὴν γέγονεν] δι' αὐτὴν γέγονεν. A. 2.

καθ' ὁρμὴν φυσικὴν] φυσικὴν omittit Ox.

ἐνδεικνύμενα] δεικνύμενα. D. 1. Mox ante *dici*, inculcat *quadranter* Con.

μὴ χωρούσης] μὴ συγχωρούσης. A. 1. Eodem redit, *non capit*, *non permittit*.

τῷ ἀνθρώπῳ] Vall. ita reddidit, ac ſi legerit, τὰ τοῦ ἀνθρώπου. Ἐν, ante εἰκόνι, abeſt M. 1.

τὰ τῶν ἔξωθεν] i. e. τὰ τῶν ἀλόγων ζώων. Quae mox leguntur, τῆς τῶν ζητουμένων οὐσίας, mihi non probantur. Malim ergo, vel τῆς τῶν ζώων οὐσίας. De animalibus brutis enim nunc quaerit. vel, τῆς τῶν ζώων οὐσίας τῶν ζητουμένων τὰς ἀποδείξεις ποιούμενοι. Mox, ἐν τῇ καθ' ἡμᾶς ψυχῇ, eſt ἐν τῇ ἡμετέρᾳ, ἤγουν ἀνθρωπίνῃ ψυχῇ. Inferius aliquoties recurrit, τὰ ἔξωθεν θηρία, ut pag. 26.

τῶν ζητουμένων οὐσίας τὰς ἀποδείξεις ποιούμενοι. ὁρῶμεν οὖν ἐν τῇ καθ' ἡμᾶς ψυχῇ τὴν ἀλογίαν καὶ τὰ ταύτης μέρη, λέγω δὲ τὴν ὄρεξιν καὶ τὸν θυμὸν, πρὸς ὑπηρεσίαν δεδομένα τῷ λογικῷ, καὶ τὸ μὲν ἄρχον, τὰ δὲ ἀρχόμενα, καὶ τὸ μὲν κελεῦον, τὰ δὲ κελευόμενα καὶ ὑπηρετούμενα ταῖς χρείαις, αἷς ἂν ὁ λόγος ὑποβάλῃ, ὅταν σώζῃ τὸ κατὰ φύσιν ὁ ἄνθρωπος. εἰ δὲ τῶν ἐν ἡμῖν ἀλόγων τὸ ἐν ἡμῖν ἄρχει λογικὸν, πῶς οὐκ εἰκὸς, καὶ τῶν ἔξωθεν ἀλόγων αὐτὸ κρατεῖν, καὶ πρὸς τὰς χρείας αὐτῷ δεδόσθαι; ὑπηρετεῖσθαι γὰρ φύσει τέτακται τὸ ἄλογον τῷ λογικῷ, ὡς ἐν τοῖς καθ' ἡμᾶς ἐδείχθη. δηλοῖ δὲ τοῦτο καὶ ἡ τῶν πολλῶν ζώων κατασκευὴ, πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων ἐπιτήδειος γενομένη, βόες μὲν καὶ πάντα τὰ νωτοφόρα πρὸς γεωργίαν καὶ ἀχθοφορίαν, τὰ πολλὰ δὲ τῶν πτηνῶν καὶ τῶν ἐνύδρων καὶ τῶν χερσαίων πρὸς ἀπόλαυσιν, τὰ δὲ μιμηλὰ πρὸς τέρψιν καὶ ἄνεσιν. εἰ δὲ μὴ πάντα ταῖς τοιαύταις χρείαις ὑπηρετεῖται, ἀλλ' ἔνια καὶ λυμαίνεται τὸν ἄνθρωπον· ἰστέον, ὡς, προηγου-

VAR. LECT. ET ANIMADV.

τὴν ἀλογίαν] τὴν ἀναλογίαν. M. 1.

ὑπηρετοῦντα ταῖς χρείαις] ὑπηρετούμενα ταῖς χρείαις. D. 1. A. 1. Medium et activum hoc ſenſu occurrit. Mox, οἷς ἄν. Sic. D. 1.

ὑποβάλῃ] ὑποβάλλῃ. A. 2. M. 1.

πῶς οὐκ εἰκὸς] πῶς οὐκ εἰκότως. D. 1.

χρείας αὐτῷ δεδόσθαι] χρείας τούτῳ δεδόσθαι, D. 1. Id eſt, πρὸς τὰς χρείας τῷ λογικῷ ἀνθρώπῳ δεδόσθαι τὰ ἄλογα ζῶα. M. 1. omiſſo χρείας, exhibet αὐτῶν. Αὐτῶν habet etiam A. 3.

ἐν τοῖς καθ' ἡμᾶς] *in iis, quae nos homines attinent.* Cono ita: *ut ex his, quae in nobis ſunt.*

ὑπηρεσίαν τῶν ἀνθρώπων ἐπιτήδειος γενομένη] ὑπηρ. τῷ ἀνθρώπῳ ἐπιτήδ. γινομένη. A. 1. 2.

πάντα τὰ νωτοφόρα] τὰ abeſt. A. 1. 2. Mox μιμηλὰ, *diſciplinabilia.* Con.

εἰ δὲ μὴ πάντα] Con. incipit lib. 1. cap. 5. Animalia mortifera conducunt homini. Et de maxima hominis dignitate. Mox idem ταῖς τοιαύταις reddidit *noſtris*, ταῖς ἡμετέραις.

μένως τῶν δι' ὑπηρεσίαν γενομένων, καὶ τὰ ἄλλα πάντα τὰ ἐνδεχόμενα κατεσκεύασται, ἵνα μηδὲν ἐλλίπῃ τῇ κτίσει τῶν ἐνδεχομένων γενέσθαι. οὐδὲ ταῦτα δὲ παντάπασιν ἐκπέφευγε τὴν τῶν ἀνθρώπων ὄνησιν, ἀλλὰ καὶ τὰ δηλητηριώδη πρὸς οἰκείαν ὠφέλειαν ὁ λόγος καρποῦται. καταχρῆται γὰρ αὐτοῖς πρὸς θεραπείαν τῆς ἐξ αὐτῶν ἐκείνων βλάβης, καὶ τῆς τῶν ἄλλων ἀῤῥωστημάτων ἰάσεως. τοιαῦται τινές εἰσιν αἱ θηριακαὶ καλούμεναι κατασκευαὶ, ἃς ὁ λόγος ἐπενόησεν, ἵνα καὶ τούτων κρατῇ δι' αὐτῶν, καὶ ὥςπερ ὑπὸ πολεμίων κρατηθέντων ὠφελοῖτο. ἔχει δὲ μυρίας ὁ ἄνθρωπος ἀντιπαθεῖς τούτων δυνάμεις, δεδομένας παρὰ τοῦ δημιουργοῦ, εἴργειν καὶ ἀμύνεσθαι καὶ διορθοῦσθαι τὰς ἐπιβολὰς αὐτῶν δυναμέ-

VAR. LECT. ET ANIMADV.

μᾶλλον τὸ κρᾶσιν] Semel hic notetur, Codicem a prima manu conſtanter habere κρᾶσις et κρᾶσιν, ſed plerumque a manu recentiori correctum eſſe κράσις et κράσιν. D. 1. A. 3. conſtanter κρᾶσις. μαλλον τὴν κρᾶσιν. N.

ταύτῃ γὰρ ἐπακολουθεῖν] Eandem ſententiam Galeni notat Proclus ad Platonis Timaeum p. 346. med.

εἰ δὲ τοῦτο δῆλον ὅτι] poſt τοῦτο comma habet D. 1.

αὐτὴν οἴεται] αὐτὴν εἶναι οἴεται. D. 1. A. 1. 2. αὐτὴν οἴεται εἶναι. N.

ἄλογον ψυχὴν μόνην] ἄλογον μόνην ψυχὴν τοῦ ἀνθρώπου. D. 1. A. 1. 2. 3. N. Con. Vall. ψυχὴν omittit ſolum M. 1.

λέγων οὕτως] Hic notatur: λείπει τὰ τοῦ γαληνοῦ ῥήματα, in marg. Ant. In Codice D. 1. proxima verba, tanquam Galeni, notantur hujusmodi ſignis: ". Oxonienſis editor ait, librum *de demonſtratione* non reperiri. Legit enim ἀποδεικτικοῖς. Galeni loco caret etiam Con. Item Valla; qui etiam omittit proxima ab εἶναι ψυχὴ ad τούτων κρᾶσις.

τεσσάρων στοιχείων κέκραται] loco κέκραται eſt κρᾶται. Sic. A. 1. 2. κεκράτηται. N.

εἰ τοίνυν ἡ τοῦ σώματος κράσις] ἡ κρᾶσις, ante τοῦ σώματος habet D. 1.

καὶ συνάγεται ad εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει] ὡς ὁ λόγος ἀπέδειξεν. οὕτω γὰρ ἡ κρᾶσις τοῦ σώματος ψυχὴ ἔσται. πάλιν, εἰ

κρᾶσις τοῦ σώματος ψυχή ἐστι, πᾶν δὲ σῶμα κρᾶσιν ἔχει,
πᾶν σῶμα ψυχὴν ἔχει· εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει,
οὐδὲν σῶμά ἐστιν ἄψυχον· οὔτε λίθος ἄρα, οὔτε ξύλον,
οὔτε σίδηρος, οὔτε ἄλλο τι ἄψυχον ἔσται. εἰ δὲ μὴ καθ-
όλου πᾶσαν κρᾶσιν σώματος λέγοι ψυχὴν εἶναι, ἀλλὰ τὴν
τοιάνδε, ἐρωτητέον, ποία κρᾶσίς ἐστιν ἡ ποιοῦσα ζῶον καὶ
ψυχῆς λόγον ἐπέχουσα; ὁποίαν γὰρ ἂν εἴποι τὴν κρᾶσιν,
τοιαύτην εὑρήσομεν καὶ ἐν τοῖς ἀψύχοις. ἐννέα γὰρ οὐσῶν
κράσεων, ὡς αὐτὸς ἐν τῷ περὶ κράσεως ἔδειξεν, ὀκτὼ μὲν
τῶν δυσκράτων, μιᾶς δὲ τῆς εὐκράτου, κατὰ μὲν τὴν εὔκρα-
τον λέγει κεκρᾶσθαι τὸν ἄνθρωπον, οὐ πάντα δὲ, ἀλλὰ
τὸν τῆς μέσης κράσεως, κατὰ δὲ τὰς ἄλλας δυσκρασίας,
38 τὰ ἄλλα ζῶα κατ' εἶδος, μετὰ τῆς ἐπὶ τὸ μᾶλλον καὶ ἧττον
ἀνέσεώς τε καὶ ἐπιτάσεως. εὑρίσκονται δὲ καὶ ἐν τοῖς ἀψύ-
χοις αἱ ἐννέα κράσεις μετὰ τοῦ μᾶλλον καὶ ἧττον, ὡς αὐ-
τὸς πάλιν ἐν τοῖς ἁπλοῖς ἀπέδειξεν. ἔτι, εἰ ἡ ψυχὴ κρᾶσίς
ἐστιν, αἱ δὲ κράσεις ἐναλλάσσονται κατά τε τὰς ἡλικίας

VAR. LECT. ET ANIMADV.

εἰ τὸ σῶμα κρᾶσιν ἔχει, καὶ πᾶν σῶμα ψυχὴν ἔχει· εἰ δὲ πᾶν σῶμα ψυχὴ, οὐδὲν σῶμα κ. τ. λ. N.

πᾶν σῶμα ψυχὴν ἔχει] καὶ πᾶν σῶμα ψυχὴν ἔχει. D. 1.

εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει] abſunt. D. 1.

οὔτε ξύλα] οὔτε ξύλον. A. 1. 2. Con. Vall. Mox, λέγει ψυχὴν εἶναι. N.

ἐρωτητέον ποία κράσις] ποία abeſt. A. 2. Ejus loco ποῖα habet D. 1. N. Mox, ἡ ζῶον ποιοῦσα. N. ποῖα οὖσα, loco ποιοῦσα. M. 1.

ὁποίαν γὰρ ἂν εἴποι] ἂν abeſt. D. 1. εἴπῃ, loco εἴποι. A. 3. Mox idem εὑρήσωμεν. *Dixerint*. Con. Mox, εὑρήσομεν εἶναι καὶ ἐν. N.

ἐν τῷ περὶ κράσεων] ἐν τῷ περὶ κράσεως. D. 1. A. 1. 2. 3. M. 1. N. τῶν, ante κράσεων, addit Con. Pluralem habet etiam Vall.

εὑρίσκονται δὲ καὶ] δὲ abeſt. N. Mox, αἱ ἐννέα abeſt. N. αἱ ſolum abeſt. A. 3.

ἐν τοῖς ἁπλοῖς ἐπέδειξεν] ἐν τοῖς ἁπλοῖς ἀπέδειξεν. D. 1. N. A. 3. *In ſimplicium medicaminum libro oſtendit*. Con.

ἐναλλάσσονται κατά τε] ſolum κατὰ habet N. Primo ἐναλλάσσηται, ſecundo ἐναλλάτηται habet M. 1. Διαίτας duobus vocabulis reddidit Cono: *converſationes et diaetas*.

Ὧραι

καὶ τὰς ὥρας καὶ τὰς διαίτας, ἡ ψυχὴ ἐναλλάσσεται· εἰ δὲ ἐναλλάσσεται, οὐ τὴν αὐτὴν ἔχομεν ψυχὴν, ἀλλὰ κατὰ τὴν κρᾶσιν, ποτὲ μὲν λέοντος, ποτὲ δὲ προβάτου, ποτὲ δὲ ἄλλου τινὸς, ὅπερ ἄτοπον. ἔτι, ἡ κρᾶσις οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος, ἀλλὰ καὶ συνεργεῖ· αὕτη γάρ ἐστιν ἡ κινοῦσα· ἡ δὲ ψυχὴ ἐναντιοῦται· οὐκ ἄρα ἡ κρᾶσίς ἐστι ψυχή. ἔτι, εἰ κρᾶσίς ἐστι ψυχὴ, ἡ δὲ κρᾶσις ποιότης, ποιότης δὲ καὶ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται

VAR. LECT. ET ANIMADV.

Ὧραι sunt quatuor anni tempora: δίαιτα est totum vitae genus, quo quis utitur, non solum in cibo et potu, verum etiam in aliis omnibus, quibus κράσεις corporis variantur et mutantur, veluti somno, venere, motu et quiete corporis et aliis.

εἰ δὲ ἐναλλάττεται] εἰ δὲ ἐναλλάσσεται. A. 1. 2. 3. N. Haec omiserat scriba, sed postea addidit ac huc retulit. D. 1. ἐναλλάττεται. Ox. Mox, κατὰ κρᾶσιν. A. 3.

ποτὲ δὲ προβάτου] ποτὲ μὲν προβάτου. A. 2. Totum hoc de animalibus equidem omisissem. Cum enim negari nequeat, corpora saltem, mutatis κράσεσι, mutari, inde aliquis eodem jure colligere possit, homines modo ovis, modo leonis, modo alius animalis corpus habere. At enim vero corpus, mutatis κράσεσι, non genere, sed qualitate mutatur. Vall. προβάτου reddidit *pecoris*. Vide Erotian. p. 41.

ἔτι ἡ κρᾶσις οὐκ ἐναντιοῦται] καὶ, post ἔτι, addit D. 1. A. 3. ἐναντιοῦται Vall. reddidit: non *respon*s*at atque* adversatur. Εἰ, ante οὐκ, addit M. 1.

αὕτη γάρ ἐστιν ἡ κινοῦσα] αὐτὴ, loco αὕτη. A. 1. 2. *Nam et ipsum* (temperamentum) *cum. illis communicat.* Vall. Ac si legerit, κοινωνοῦσα.

ἡ ψυχὴ ἐναντιοῦται] δὲ, post ἡ, addunt D. 1. A. 1. 2. 3. Ox. N. Con. Vall. Mox, οὐκ ἄρα ἡ κρᾶσις ἐστὶν ἡ ψυχή. Ox. A. 3. Sic a prima manu correctum. D. 1. οὐκ ἄρα κρᾶσίς ἐστιν ἡ ψυχή. N.

ἔτι, εἰ κρᾶσις ἐστὶ ψυχὴ] ἔτι, εἰ ἡ κρᾶσις ἐστὶν ἡ ψυχή. A. 1. 2. ἡ, loco εἰ, M. 1. ἡ, ante ψυχὴ, addit etiam A. 3.

ποιότης δὲ καὶ γίνεται] καὶ abest. A. 1. 2.

καὶ ἡ ψυχὴ ἄρα χωρισθ. — φθορᾶς] Haec in marg. a man. rec.

χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τοῦτο δὲ οὐκ ἀληθές·
οὐκ ἄρα κρᾶσις, οὐδὲ ποιότης ἐστὶν ἡ ψυχή. οὐ γὰρ δήπου
τὸ ἕτερον τῶν ἀντικειμένων φυσικῶς προσεῖναι φήσουσι τῷ
ζώῳ, ὡς ἐπὶ τοῦ πυρὸς τὸ θερμόν. ἀμετάθετον γὰρ τοῦτο.
φαίνεται δὲ μετατιθεμένη ἡ κρᾶσις, μᾶλλον δὲ αὐτοί εἰσιν
οἱ διὰ τῆς ἰατρικῆς τέχνης τὰς κράσεις μεταβάλλοντες. ἔτι,
παντὸς σώματος αἱ ποιότητες αἰσθηταί εἰσιν· ἡ δὲ ψυχὴ
οὐκ αἰσθητὴ, ἀλλὰ νοητή· οὐκ ἄρα ποιότης σώματός ἐστιν
ἡ ψυχή. ἔτι, ἡ τοῦ αἵματος καὶ πνεύματος μετὰ παρα-
θέσεως σαρκῶν καὶ νεύρων καὶ τῶν ἄλλων εὐκρασία, ἰσχύς
ἐστι· καὶ ἡ τῶν θερμῶν δὲ καὶ ψυχρῶν καὶ ξηρῶν καὶ
39 ὑγρῶν εὐκρασία, ὑγεία ἐστίν· ἡ δὲ συμμετρία τῶν μελῶν
μετὰ τῆς εὐχροίας τὸ κάλλος ποιεῖ τοῦ σώματος· εἰ τοίνυν
ἡ ἁρμονία τῆς ὑγείας καὶ τῆς ἰσχύος καὶ τοῦ κάλλους ψυχή

VAR. LECT. ET ANIMADV.

rec. D. 1. Mox, τῶν ἀντικειμένων τὸ ἕτερον. N. Intelligitur autem, τὸ μὴ ἀπογίνεσθαι ἢ μετατίθεσθαι τὴν κρᾶσιν. Paullo poſt προεῖναι, loco προσεῖναι, M. 1.

μᾶλλον δὲ αὐτοὶ] καὶ, poſt δὲ, addit N. οὗτοι, loco αὐτοί. M. 1. Αὐτοὶ, id eſt, οἱ ἰατροί. Mox, loco ποιότης ἀσώματος, correxi ποιότης σώματος. Tamen Cono et Valla habent: *Qualitas incorporea.* Sed Ellebodius: *corporis qualitas.*

ἔτι, ἡ τοῦ αἵματος] ἔτι ἡ τοῦ σώματος. D. 1. N. A. 3. ἔτι εἰ ἡ τοῦ αἵματος. A. 2. Σαρκῶν Vall. reddidit, *corpulentiarum.* Sic ſuperius reddiderat πιμελήν.

θερμῶν δὲ καὶ ψυχρῶν] δὲ abeſt. A. 2.

ὑγεῖα ἐστὶν] ὑγίεια ἐστιν. N. Loco ὑγεῖα habet ὑγιεῖα et ex correct. ὑγιεία. D. 1. Praeterea hic in marg. legitur: Ἀριστοτέλης· τὸ ἐν βελτίοσιν ἢ προτέροις ἢ τιμιωτέροις βέλτιον, οἷον, ὑγεία ἰσχύος καὶ κάλλους. ἡ μὲν γὰρ ἐν ὑγροῖς καὶ ξηροῖς, ἐξ ὧν πρῶτον συνέστηκε τὸ ζῶον· τὰ δὲ ἐν τοῖς ὑστέροις. ἡ μὲν γὰρ ἰσχὺς ἐν τοῖς νευροῖς καὶ ὀστοῖς. τὸ δὲ κάλλος (addendum videtur ἐν) τῶν μελῶν τῇ συμμετρίᾳ δοκεῖ εἶναι.

τῆς εὐχροίας] τῆς abeſt. A. 3.

τῆς ὑγείας] τῆς ὑγιείας. D. 1. N. ſed hic paullo ante exhibet εὐχρόας.

τοῦ κάλλους ψυχὴ] τοῦ κάλλους ἡ ψυχή. D. 1. Mox, ἀνάγκη ἢ τόν. N.

ἔστιν, ἀνάγκη ἦν, τὸν ἄνθρωπον ζῶντα μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἄμορφον εἶναι· συμβαίνει δὲ πολλάκις, οὐ μίαν μόνην, ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι, καὶ ζῆν τὸν ἄνθρωπον· συμβαίνει γὰρ τὸν αὐτὸν ὁμοῦ καὶ ἄμορφον εἶναι καὶ ἀσθενεῖν καὶ νοσεῖν· οὐκ ἄρα ἡ εὐκρασία τοῦ σώματός ἐστιν ἡ ψυχή. πῶς οὖν Φυσικαί τινες καὶ κακίαι καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; τοῦτο ἐκ τῆς τοῦ σώματος κράσεως ἀληθῶς γίνεται. ὡς γὰρ Φυσικῶς ὑγιεινοὶ καὶ νοσώδεις εἰσὶν ἐκ τῆς κράσεως· οὕτω τινὲς Φυσικῶς πικρόχολοι ὄντες, ὀργίλοι εἰσὶν, ἄλλοι δειλοὶ, ἄλλοι καταφερεῖς. ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται· δῆλον δὲ, ὅτι τῆς κράσεως κρατοῦσιν· ἄλλο δέ ἐστι τὸ κρατοῦν καὶ ἄλλο τὸ κρατούμενον· ἄλλο ἄρα κρᾶσις καὶ ἄλλο ψυχή. ὄργανον γὰρ ὂν τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως κατασκευασθῇ, συνεργεῖ τῇ ψυχῇ, καὶ αὐτὸ ἔχει ἐπιτηδείως·

VAR. LECT. ET ANIMADV.

ὁμοῦ τὰς τρεῖς] πάσας, post ὁμοῦ, interponit Ox. N.

ἀσθενεῖν καὶ νοσεῖν] imbecillem et aegrotum. Vall. Ac si legerit ἀσθενῆ καὶ νοσερόν.

Φυσικαί τινες κακίαι] καὶ, ante κακίαι, interponit D. 1. *Cur igitur, inquiunt, et quaedam vitia et.* Vall.

ἀληθῶς κράσεως] κράσεως ἀληθῶς. D. 1. Vall.

οἱ ὑγιεινοὶ] οἱ abest. D. 1. A. 3. Mox, δεινοὶ, loco δειλοί. M. 1. et κατωφερεῖς, loco καταφερεῖς. N. Utrumque notat *pronum ad libidinem*. Diog. Laërt. p. 154: φιλομειράκιός τε ἦν καὶ καταφερής. Euseb. Demonstr. Evang. p. 110. λαγνεστάτοις καὶ καταφερεστάτοις. Praeparat. Evang. p. 49. κατωφερέστατον πρὸς τὰς συνουσίας. Chrysost. T. VII. p. 627. B. Cono reddidit *tristes*. Valla, *feroces*. Mox idem ab ἀλλ' ἔνιοι ad κράσεως κρατοῦσιν omittit.

εἰσὶν ἐκ τῆς — Φυσικῶς] εἰσὶν et Φυσικῶς omittit A. 3. Mox idem exhibet: ἄλλοι δὲ δειλοί.

κρατοῦσι] Intellige, τῆς κράσεως καὶ τῶν ἐντεῦθεν κακιῶν. Mox τὸ κρατούμενον Vall. reddidit: *non cohibitum*. Proximum ἄρα abest. A. 3.

ὄργανον γὰρ ὂν] ἐστι, loco ὄν. M. 1.

καὶ αὐτὸ ἔχει ἐπιτηδείως] absunt. D. 1. Paullo ante ἐνεργεῖ, loco συνεργεῖ. N.

ἐὰν δὲ ἀνεπιτηδείως, ἐμποδίζει, καὶ τότε χρεία τῇ ψυχῇ πραγμάτων, ἀπομαχομένῃ πρὸς τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου· καὶ ἐὰν μὴ σφόδρα νήψῃ, καὶ συνδιαστρέφεται αὐτῷ, καθάπερ μουσικὸς συνεξαμαρτάνει τῇ τῆς λύρας διαστροφῇ, ἐὰν μὴ πρότερον αὐτὴν καταστήσῃ καλῶς. διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ σώματος, ἵνα καταρτίσῃ αὐτὸ ὄργανον ἐπιτήδειον ἑαυτῇ. τοῦτο δὲ ποιεῖ διά τε τοῦ λόγου καὶ τῶν ἠθῶν, ὡς ἐν ἁρμονίᾳ, τὰ μὲν χαλῶσα, τὰ δὲ ἐπιτείνουσα, ἵνα ἁρμόδιον αὐτὸ ἑαυτῇ κατασκευάσῃ καὶ χρῆσηται ἐπιτηδείῳ ὀργάνῳ, ἐὰν μὴ καὶ αὐτὴ συνδιαστραφῇ αὐτῷ· συμβαίνει γὰρ καὶ τοῦτο. Ἀριστοτέλης δὲ,

VAR. LECT. ET ANIMADV.

ἐὰν δὲ ἀνεπιτηδείως, ἐμποδίζει καὶ τότε] ἐὰν δὲ μὴ ἐπιτήδειον ἐνήργηκε, τότε. N. Mox idem, ἀπομαχομένη γὰρ πρὸς τήν. Paullo poſt, κἂν μὴ σφόδρα. Idem. Poſt ἀνεπιτηδείως addit ἐνεργῇ. M. 1. μὴ ἐπιτηδείως, loco ἀνεπιτηδείως. A. 3.

τότε χρεῖα] τότε χρεία. Sed paullo inferius χρεῖα. D. 1.

ἀπομαχομένη] Correxi ἀπομαχομένῃ. Nam in Codd. omittitur iſtud jota.

καὶ συνδιαστρέφεται αὐτῷ] *et in diverſum ipſum* (corpus) *converterit*. Vall. Ac ſi legerit, καὶ εἰς τοὐναντίον μεταστρέψῃ αὐτό.

ἵνα καταστήσῃ αὐτὸ ὄργανον] καταρτήσῃ, loco καταστήσῃ. D. 1. καταρτίσῃ. A. 1. 2. *Firmet*. Con. *Accommodet*. Vall. In A. 3. eſt καταντήσῃ. Haud dubie voluit καταρτίσῃ. Nam ν et ρ, item ι et η, facile permutantur in Codd. Poſterius ex negligentia, prius ob formae ſimilitudinem.

τοῦ λόγου καὶ τῶν ἠθῶν] τῶν λόγων καὶ τῶν ἠθῶν. D. 1. Paullo ante: καὶ τοῦτο δὲ ποιεῖ. N. Paullo poſt addit καλοῦμεν poſt τὰ μέν. M. 1.

συνδιαστραφῇ αὐτὸ] συνδιαστραφῇ αὐτῷ. D. 1. A. 1. 2. 3. Ox. κἂν μὴ αὐτὴ συνδιαστραφῇ αὐτῷ. N. *Quod niſi fecerit, ipſa* (anima) *quoque cum illo* (corpore) *ſubvertetur*. Vall. Mox exhibet συμβαίνειν. A. 3.

ἀριστοτέλης] Con. incipit libri 2. cap. 4. Index: Animam non eſſe entelechiam, quam eſſe Ariſtoteles primus excogitavit.

τὴν ψυχὴν ἐντελέχειαν λέγων, οὐδὲν ἧττον συμφέρεται τοῖς ποιότητα λέγουσιν αὐτήν. διασαφήσωμεν δὲ πρότερον, ἐντελέχειαν τίνα καλεῖ. τὴν οὐσίαν τριχῶς λέγει, τὸ μὲν, ὡς ὕλην ὑποκείμενον, ὃ καθ' ἑαυτὸ μὲν οὐδέν ἐστι, δύναμιν δὲ ἔχει πρὸς γένεσιν· ἕτερον δὲ, μορφὴν καὶ εἶδος, καθ' ἣν εἰδοποιεῖται ἡ ὕλη· τρίτον δὲ, τὸ συναμφότερον, τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους γεγενημένον, ὃ ἐστι λοιπὸν ἔμψυχον. ἔστιν οὖν ἡ μὲν ὕλη, δύναμις· τὸ δὲ εἶδος, ἐντελέχεια. καὶ τοῦτο δὲ διχῶς (νοεῖται), τὸ μὲν, ὡς ἐπιστήμη· τὸ δὲ, ὡς τὸ θεωρεῖν κατ' ἐπιστήμην, τουτέστι, τὸ μὲν, ὡς

VAR. LECT. ET ANIMADV.

οὐδὲν ἧττον συμφέρεται τοῖς] Vall. *nihil magis animae confert, quam qui.* Inepte. Συμφέρεσθαί τινι eſt *eandem ſententiam ſequi, idem ſentire cum aliquo.*

πρότερον τὴν ἐντελέχειαν] τὴν abeſt. D. 1. A. 1. 2. 3. Quae mox ſubjiciuntur, ea expreſſa ſunt ex Ariſtot. de anima II, 1.

τὸ μὲν ὡς ὕλην] ὕλη, loco ὕλην, A. 1. 2. τὴν μὲν ὡς ὕλην. N. et mox, μὲν μηδέν ἐστι. Idem. Loco ἑαυτὸ, eſt αὐτό. A. 3.

μορφὴ καὶ εἶδος] μορφὴν καὶ εἶδος. D. 1. A. 1. 2. 3. Pendet ex λέγει.

τὸ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης] τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους. D. 1. A. 1. 2. 3. N. Con. Vall. Idem mox λοιπὸν reddidit *ipſum.* Ac ſi legerit αὐτὸ τὸ ἔμψυχον. Mox ὃ, ante ἐστὶ, abeſt. M. 1.

ἔστι μὲν οὖν ἡ ὕλη δύναμις] ἔστιν οὖν ἡ μὲν ὕλη δύναμις. A. 1. 2. 3. ἔστι μὲν οὖν ἡ μὲν ὕλη δύναμις. N.

καὶ τοῦτο δὲ διχῶς κ. τ. λ.] τοῦτο δὲ διχῶς νοεῖται, ὡς ἐπιστήμη, καὶ τὸ θεωρεῖν τὴν ἐπιστήμην. N.

διχῶς τὸ μὲν ὡς ἐπιστήμη] διχῶς νοεῖται. τὸ μὲν ὡς ἐν ἐπιστήμῃ. D. 1. νοεῖται non agnoſcit Ariſtot. *Intelligi ſolet.* Con. Omittit hoc Vall.

ὡς θεωρεῖν] ὡς τὸ θεωρεῖν. A. 1. 2. Conjici etiam poſſit θεωρία. Sed iſtud Ariſtot. habet. *Ut ſcientiae agnitio commentatioque.* Con.

τουτέστι, τὸ μὲν κ. τ. λ.] Haec, omiſſis quibusdam, ita reddidit Cono: *Unde patet, animam eſſe* ἐντελέχειαν *perinde atque ſcientiam. Ex eo enim, quod anima ineſt in nobis, vigilia ſomnusque accidit.* Ac ſi legerit, ἐνυπάρχειν ἡμῖν τὴν ψυχήν.

διάθεσις, τὸ δὲ, ὡς ἐνέργεια. (ὡς) ἐπιστήμη μὲν οὖν, ὅτι ἐν τῷ ὑπάρχειν τὴν ψυχὴν, καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν. ἀνάλογος δὲ ἡ μὲν ἐγρήγορσίς ἐστι, τῷ θεωρεῖν (καὶ ἐνεργεῖν)· ὁ δὲ ὕπνος, τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν. προτέρα δέ ἐστιν ἡ ἐπιστήμη τῆς ἐνεργείας. διὸ πρώτην ἐντελέχειαν καλεῖ τὸ εἶδος· δευτέραν δὲ, τὴν ἐνέργειαν. οἷον, ὀφθαλμὸς ἐξ ὑποκειμένου ἐστὶ καὶ εἴδους· καὶ ἔστι τὸ μὲν ὑποκείμενον αὐτὸς ὁ ὀφθαλμός· τὸ δεχόμενον δὲ τὴν ὄψιν,

VAR. LECT. ET ANIMADV.

ὡς ἐπιστήμη μὲν οὖν ὅτι ἐν] ἐπιστήμη μὲν οὖν ὅτι ἐν. M. 1. D. 1. ἐπιστήμη μὲν μέση, ὅτι ἐν. A. 1. 2. ὡς et οὖν abeſt. A. 3. Valla ita habet: *ſcientia nimirum ipſa media, ita propemodum ut in anima ſomnus eſt et vigilia.* ἐπιστήμη μὲν, ὅτι ἐν τῷ ὑγιαίνειν τὴν ψυχὴν ὑπάρχει καὶ ὑπνοῦσαι καὶ ἐγρηγορέναι. πρῶτον δὲ ἡ μὲν ἐγρήγορσίς ἐστι κ. τ. λ. N. Mox, ὕπνος τῷ βλέπειν καὶ μὴ ἐνεργεῖν. Idem. ἐνεργεῖν, loco ὑπάρχειν, habet D. 1. Male. Loco ὑπάρχειν paullo poſt elt ἔχειν, nimirum τὴν ψυχήν. Ὑπάρχειν habet etiam Ariſtot. l. l.

ἀνάλογος δὲ] ἀνάλογος μέν. M. 1. ἀνάλογον δέ. A. 1. 2. 3. Vall. Sic Ariſtot. l. l. Omittit iſta D. 1. Mox, ἡ μὲν ἐγρήγορσίς ἐστι in marg. leguntur a man. rec. D. 1.

τῷ θεωρεῖν κ. τ. λ.] τὸ θεωρεῖν καὶ ἐνεργεῖν. ὁ δὲ ὕπνος, τὸ βλέπειν καὶ μὴ ἐνεργεῖν. D. 1. βλέπειν, loco ἔχειν, M. 1. Ex his probo, καὶ ἐνεργεῖν, cui mox opponitur, μὴ ἐνεργεῖν. Dubius tamen ſum, annon etiam βλέπειν, loco ἔχειν, eligendum ſit. Sed Ariſtot. l. l. accedit lectioni vulgatae. Con. *Et vigilia ceu contemplatio conſideratioque eſt, ſomnus, uti animae habitus operatione vacans.* Vall. *Analogum autem eſt vigilia et ſpeculari: et ſomnus cum eo quod eſt habere et non exercere. Prima eſt actionis ſcientia.*

τῆς ἐνεργείας] *quam meditatio ſcientiaeque agitatio.* Sic hoc vocabulum reddidit Con.

διὸ καὶ πρώτην ἐντελέχειαν] καὶ abeſt. D. 1. A. 1. 2. 3. Vall.

δευτέραν δὲ] poſt haec praetermittendum unum folium in Cod. D. 1. δεύτερον δὲ διαφορὰν τὴν ἐνέργειαν. N. M. 1.

ὀφθαλμὸς ἐξ κ. τ. λ.] Con. *Ex materia et forma conſtat oculus et eſt haec in eo ſicuti in ſubjecto: quod vero ſuſcipit viſum, oculi materia eſt.*

μὲν ὑποκείμενον κ. τ. λ.] μὲν ὑποκείμενον, αὐτὸς ὁ ὀφθαλμός· τὸ δεχόμενον δὲ τὴν ὄψιν, ἤγουν, τὸ εἶδος, ὕλη ὀφθαλμοῦ.

καλεῖ-

ἤγουν, τὸ εἶδος, ὕλη ὀφθαλμοῦ. καλεῖται δὲ καὶ αὐτὴ
ὁμωνύμως ὀφθαλμός· εἶδος δὲ καὶ ἐντελέχειά ἐστιν ἡ πρώτη
ὀφθαλμοῦ, αὐτὴ ἡ ὄψις, ἡ τὸ δύνασθαι ὁρᾷν αὐτῷ παρε-
χομένη· δευτέρα δὲ ἐντελέχειά ἐστι τοῦ ὀφθαλμοῦ, ἡ
ἐνέργεια, καθ' ἣν ὁρᾷ. ὥσπερ οὖν ὁ ἄρτι τεχθεὶς σκύλαξ 41
οὐδετέραν μὲν ἔχει ἐντελέχειαν, δύναμιν δὲ τοῦ δέξασθαι
τὴν ἐντελέχειαν· οὕτω δεῖ λαβεῖν καὶ τὸ τῆς ψυχῆς. ὡς
γὰρ ἐκεῖ γεννηθεῖσα ἡ ὄψις τελειοῖ τὸν ὀφθαλμόν· οὕτως
ἐνταῦθα γεννηθεῖσα ἡ ψυχὴ ἐν τῷ σώματι τελειοῖ τὸ ζῶον,
ὡς μήτε ἄνευ σώματος εἶναί ποτε τὴν ψυχὴν, μήτε σῶμα
δίχα ψυχῆς. σῶμα μὲν γὰρ οὐκ ἔστιν ἡ ψυχή· σώματος
δέ ἐστι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει καὶ σώματι

VAR. LECT. ET ANIMADV.

καλεῖται. D. 1. Τὸ δὲ δεδεγμένον. Et mox: καλεῖται καὶ αὕτη ὁμων. N. Valla ita: *Et eſt alterum quidem in ipſo ſubjectum, alterum vero ſuſcipiens viſum oculi ſylva.* ὕλην, et mox, δὲ καὶ αὐτὸ habet. A. 3.

ὁμωνύμως] ὁμώνυμος. M. 1.

καὶ ἐντελέχεια κ. τ. λ.] καὶ ἐντελέχεια ἡ πρώτη ὀφθαλμοῦ, αὐτὴ ἡ ὄψις, ἡ τὸ δύνασθαι ὁρᾷν αὐτῷ παρεχομένη· δευτέρα δὲ ἐντελέχειά ἐστι τοῦ ὀφθαλμοῦ ἡ ἐνέργεια. D. 1. M. 1. A. 1. 2. 3. Sed Ox. ex MS. ita edidit: καὶ ἐντελέχειά ἐστι τοῦ ὀφθαλμοῦ ἡ πρώτη, αὐτὴ ἡ ὄψις ἢ τὸ δύνασθαι κ. τ. λ. N. vero ita: καὶ ἐντελέχεια ἡ πρώτη ὀφθαλμῶν αὐτὴ ἡ ὄψις, ἡ τὸ δυνατὸν ὁρᾷν αὐτῷ παρεχομένη· δευτέρα δὲ ἐντελέχειά ἐστι τοῦ ὀφθαλμοῦ ἡ ἐνέργεια. Omiſſa agnoſcunt etiam Con. Vall.

οὐδετέραν] οὐ δευτέραν. M. 1.

οὕτως δεῖ] οὕτω δεῖ. D. 1. Sic, et antea, οὐδὲ ἑτέραν μὲν, et, δύναμιν δὲ ἔχει τοῦ δέξ. N.

ἐκεῖ γεννηθεῖσα] et hic et paullo poſt γενηθεῖσα. D. 1. A. 1. Secundo loco ſic etiam A. 2. *Genitus viſus.* Con.

εἶναί ποτε] ποτε abeſt. M. 1.

δίχα ψυχῆς] χωρὶς ψυχῆς. D. 1. Abſunt iſta. Vall.

σῶμα μὲν γὰρ οὐκ ad παθητικὸν μέρος] ἀλλὰ τὸ μὲν ζωτικὸν σῶμα ἔργον. N. A σῶμα ad οὐχ ὑπάρχει omittit Con.

σῶμα μὲν γὰρ οὐκ ἐπὶ σώματος δέ ἐστι] σῶμα μὲν γὰρ οὐκ ἔστιν ἡ ψυχὴ, σώματος δέ ἐστι. D. 1. σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ ἐστι. A. 1. 2. Ox. Ita etiam Vall. ἔστι, loco ἐπὶ, M. 1. σῶμα μὲν γὰρ οὐκ ἔστιν, ἀσώματος δέ ἐστι. A. 3. Vide Ariſtot. de anima II, 2. in fine.

τοιῷδε· καθ' ἑαυτὴν δὲ οὐχ ὑπάρχει. ἀλλὰ πρῶτον μὲν τὸ ζωτικὸν μέρος τῆς ψυχῆς ψυχὴν καλεῖ, χωρίζων αὐτῆς τὸ λογικόν. ἔδει δὲ πᾶσαν ὁμοῦ λαβεῖν τὴν ψυχὴν τοῦ ἀνθρώπου, καὶ μὴ ἀπὸ μέρους, καὶ ταῦτα τοῦ ἀσθενεστάτου, περὶ τοῦ παντὸς ἀποφαίνεσθαι. ἔπειτα, τὸ σῶμα, φησί, δυνάμει τὸ ζῆν ἔχειν, καὶ πρὸ τοῦ γενέσθαι τὴν ψυχήν. λέγει γὰρ τὸ σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ. δεῖ δὲ τὸ σῶμα, τὸ δυνάμει ζωὴν ἔχον (ἐν ἑαυτῷ), πρότερον ἐνεργείᾳ σῶμα εἶναι· οὐ δύναται δὲ ἐνεργείᾳ εἶναι σῶμα πρὸ τοῦ δέξασθαι τὸ εἶδος· ὕλη γάρ ἐστιν ἄποιος, καὶ οὐ σῶμα· ἀδύνατον ἄρα τὸ μὴ ὂν ἐνεργείᾳ (σῶμα) δύναμιν ἔχειν πρὸς τὸ

VAR. LECT. ET ANIMADV.

δὲ οὐχ ὑπάρχει] οὐχ abeſt. D. 1.

τὸ παθητικὸν] τὸ ζωτικόν. D. 1. τὸ abeſt ſolum. M. 1. Vide Ariſtot. de anima II, 2. in principio. Ibi eſt: διορίζεται τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν. Cono reddidit: *Zeloticam animae partem*. Ergo legit ζηλωτικὸν, loco ζωτικόν. *Paſſivam*. Vall. Quam late autem dicatur τὸ παθητικὸν, diſci poteſt ex iis, quae infra ad pag. 96. ex Nicephoro notavi.

τὴν ψυχὴν τοῦ ἀνθρώπου] τὴν, loco τοῦ, D. 1. τὴν ἀνθρώπου ψυχήν. N. τὴν ψυχὴν λαβεῖν τοῦ ἀνθρώπου. A. 3.

περὶ τοῦ παντὸς ἀποφαίνεσθαι] τοῦ abeſt. A. 2.

ἔπειτα τὸ ad πρὸ τοῦ δέξασθαι] abſunt. M. 1.

δυνάμει τὸ ζῆν ἔχειν] ἔχει, loco ἔχειν, D. 1. *In ſe ipſo*, hoc eſt, ἐν ἑαυτῷ, addit Con. Mox omittit a λέγει ad ἐν ἑαυτῷ. Ac profecto haec abeſſe poterant.

τὸ σῶμα δυνάμει] δυνάμει abeſt. A. 3.

ζωὴν ἔχον πρότερον] poſt ἔχον, addit ἐν ἑαυτῷ D. 1. Non agnoſcit Con. Nec Vall. πότερον, pro πρότερον. A. 3.

ἐνεργείᾳ σῶμα εἶναι πρὸ τοῦ] ἐνεργείᾳ εἶναι σῶμα. οὐ δύναται δὲ ἐνεργείᾳ εἶναι σῶμα πρὸ τοῦ. D. 1. A. 1. 2. Con. Vall. Sic et Ox. ex MS. edidit. Sed in principio habet: σῶμα εἶναι, ordine inverſo. Sic, ſed utroque loco σῶμα εἶναι. N. Sic, ſed, δὲ ἐν ἐνεργείᾳ. A. 3.

ἄποιος τὸ σῶμα] ἄποιος καὶ οὐ σῶμα. D. 1. A. 1. 2. 3. Ox. Vall. Con. ἄποιος καὶ οὐ τὸ σῶμα. N.

μὴ ὂν ἐνεργείᾳ δύναμιν] μὴ ὂν ἐνεργείᾳ σῶμα, δύναμιν. D. 1. δυνάμει, loco δύναμιν, A. 3. Σῶμα non agnoſcit Con. nec Vall. nec caeteri.

ἐξ αὐτοῦ τὶ γίνεσθαι. εἰ δὲ καὶ σῶμα δυνάμει ἐστὶ, πῶς
τὸ δυνάμει σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ δύναται;
ἄλλως τε, ἐπὶ μὲν τῶν ἄλλων δυνατὸν, ἔχοντά τι, μὴ
χρῆσθαι αὐτῷ· οἷον, ὄψιν ἔχοντα, μὴ χρῆσθαι αὐτῇ·
ἐπὶ δὲ τῆς ψυχῆς ἀδύνατον. οὐδὲ γὰρ ὁ καθεύδων ἄνευ
ψυχικῆς ἐνεργείας ἐστί. καὶ γὰρ τρέφεται καὶ αὔξεται
καὶ φαντασιοῦται καὶ ἀναπνεῖ, ὅπερ μάλιστα τῆς ζωῆς ἐστι
τεκμήριον. ἐκ τούτων οὖν φανερὸν, ὅτι δυνάμει τὸ ζῆν οὐ 42
δύναται προςεῖναί τινι, ἀλλὰ πάντως ἐνεργείᾳ. προηγουμέ-
μένως γὰρ τὸ εἰδοποιοῦν τὴν ψυχὴν οὐδὲν ἄλλο ἐστὶν, ἀλλ'
ἢ ἡ ζωή. τῇ μὲν γὰρ ψυχῇ σύμφυτός ἐστιν ἡ ζωή· τῷ
δὲ σώματι, κατὰ μέθεξιν. ὁ λέγων τοίνυν, τὴν ὑγείαν ἀνά-
λογον εἶναι τῇ ζωῇ, οὐ τὴν τῆς ψυχῆς ζωὴν λέγει, ἀλλὰ
τὴν τοῦ σώματος, καὶ οὕτω σοφίζεται. ἡ μὲν γὰρ σωμα-

VAR. LECT. ET ANIMADV.

εἰ δὲ καὶ σῶμα καὶ δυνάμει] καὶ ſecundum abeſt. D. 1. A. 1. 2. 3. Utrumque καὶ abeſt. Con. Vall. Mox, σῶμα, δυνάμεως ζωὴν ἔχειν ἐν. N. Loco δυνάμει σῶμα δυνάμει, ſolum habet, *tale*, id eſt, τοιοῦτον. Con.

ἔχοντά τι, μὴ χρῆσθαι αὐτῷ] Con. *Potentiam poſſidere, attamen ea non uti.* Ergo: ἔχοντα δύναμιν, μὴ χρῆσθαι αὐτῇ. *Habere aliquid et eo non uti.* Vall.

μὴ χρῆσθαι αὐτῷ] Hactenus in charta a manu recentiori. Continuo incipit manus vetuſtior in membranis. A. 2. χρήσασθαι, loco χρῆσθαι. A. 3. Sic et mox. Mox, οὐ γὰρ ὁ καθεύδων. N.

οὖν φανερὸν] οὖν ἐστὶ φανερόν. A. 2.

προηγουμένως κ. τ. λ.] Vall. ita: *Propoſito enim animam ſpeciem facere, nihil aliud eſt, quam vitam eſſe.* Mox idem etiam μέθεξιν inepte reddidit, niſi adeo legerit κάθεξιν.

ἄλλο ἐστὶν ἀλλ' ἢ ζωὴ] ἀλλ' omittit A 2. ἡ, loco ἢ. N. M. 1. ἄλλος (ſic) ἐστὶν ἀλλ' ἡ ζωή. A. 3. Ego adoptavi, ἀλλ' ἢ ἡ.

τοίνυν ὑγείαν] τοίνυν τὴν ὑγίειαν. A. 1. N. Sic, ſed accentus ex correct. in vocabulo ὑγίειαν. D. 1. τοίνυν τὴν ὑγείαν. A. 2. M. 1. Mox, τὴν ζωήν. A. 3.

ἡ μὲν γὰρ σωματικὴ οὐσία] γὰρ ab alio inſertum. D. 1. ὑγεία, loco οὐσία, habet, ſed in marg. γρ. οὐσία. A. 2.

τικὴ οὐσία παρὰ μέρος τῶν ἐναντίων ἐςὶ δεκτική· ἡ δὲ κατὰ τὸ εἶδος, οὐδαμῶς. ἐὰν γὰρ ἡ κατὰ τὸ εἶδος διαφορὰ μεταλλαγῇ, μεταλλάττεται καὶ τὸ ζῶον. ὥςτε οὐχ ἡ κατὰ τὸ εἶδος οὐσία τῶν ἐναντίων ἐστὶ δεκτική, ἀλλ' ἡ κατὰ τὸ ὑποκείμενον, τουτέστιν, ἡ σωματική. οὐ δύναται τοίνυν ἡ ψυχὴ κατ' οὐδένα τρόπον ἐντελέχεια τοῦ σώματος εἶναι· ἀλλ' οὐσία αὐτοτελὴς, ἀσώματος. παρὰ μέρος γὰρ ἐπιδέχεται τὰ ἐναντία, κακίαν καὶ ἀρετὴν, ὅπερ οὐκ ἠδύνατο τὸ εἶδος ἐπιδέξασθαι. ἔπειτά φησιν, ἐντελέχειαν οὖσαν τὴν ψυχὴν, ἀκίνητον εἶναι καθ' ἑαυτὴν, κινεῖσθαι δὲ κατὰ συμβεβηκός. οὐδὲν δὲ ἀπεικὸς, ἀκίνητον οὖσαν κινεῖν ἡμᾶς. καὶ γὰρ τὸ κάλλος, ἀκίνητον ὂν, κινεῖ ἡμᾶς. ἀλλ' εἰ καὶ τοῦτο, ἀκίνητον ὂν, κινεῖ· ἀλλὰ τὸ φύσιν ἔχον κινεῖσθαι κινεῖ, καὶ οὐχὶ τὸ ἀκίνητον. εἰ τοίνυν καὶ τὸ σῶμα καθ' ἑαυτὸ κίνησιν εἶχεν, οὐδὲν ἦν ἄτοπον αὐτὸ

VAR. LECT. ET ANIMADV.

τῶν ἐναντίων ἐστὶ] ἐναντίων a man. rec. in margine explicatur: ὑγείας καὶ νόσου. Mox rurſus adſcriptum: εἶδος ψυχῆς, ἡ ζωή· καὶ εἶδος σώματος, ἡ μορφή. D. 1. Paullo poſt exciderunt οὐδαμῶς ad εἶδος. A. 3.

ἡ δὲ κατὰ τὸ εἶδος, οὐδαμῶς] Con *ſpecies autem et forma nequaquam.* Ab ἡ δὲ ad ἐστὶ δεκτικὴ omittit Vall.

ἐὰν γὰρ ἡ κατὰ τὸ εἶδος] κἂν γὰρ κατὰ τὸ εἶδος. N. Mox idem: ἡ διαφορὰ καταλλαγῇ. Ac deinde: ὥςτε οὐχὶ κατὰ τὸ εἶδος ἡ οὐσία — ἀλλὰ κατὰ τὸ ὑποκείμ. M. 1. exhibet ſic: ἐὰν γὰρ ἡ ψυχή ἐστι σῶμα, ἀνάγκη θνητὴ ἔσται. εἰ γὰρ ἡ κ. τ. λ.

ἐναντία, κακίαν καὶ ἀρετὴν] ἐναντία καὶ αὐτὴ, κακίαν καὶ ἀρετήν. D. 1. Poſt κακίαν addit τε. A. 2. Mox, τὸ εἶδος δέξασθαι. N.

ψυχὴν ἀκίνητον εἶναι] poſt haec incipit quaternio tertius. Sed temere inſertus eſt poſt decimum. D. 1. Mox, κατὰ τὸ συμβεβηκός. N.

οὐ δὲ ἀπεικὸς] οὐδὲν δὲ ἀπεικός. D. 1. A. 1. 2. 3. N. Con.

καὶ γὰρ τὸ κάλλος] poſt γὰρ iterum addit καί. A. 1. Mox, οὐ, loco ὄν. M. 1. et τὸ ἀκίνητον οὐ, loco τοῦτο ἀκίνητον ὄν. Idem deinde: καὶ οὐχὶ καὶ τὸ ἀκίνητον. N. Ab ἀλλ' εἰ ad κινεῖσθαι omittit Vall.

οὐδὲν ἦν αὐτῷ ἄτοπον κινεῖσθαι] οὐδὲν ἦν ἄτοπον αὐτὸ κινεῖσθαι. D. 1. A. 1. 2. 3. Con. Vall. οὐδὲν ἦν αὐτῷ ἄτοπον αὐτὸ κι-

κινεῖσθαι ὑπὸ ἀκινήτου· νῦν δὲ ἀδύνατον, τὸ ἀκίνητον ὑπὸ
ἀκινήτου κινεῖσθαι· πόθεν οὖν τῷ σώματι τὸ κινεῖσθαι, εἰ
μὴ ἀπὸ τῆς ψυχῆς; οὐ γὰρ αὐτοκίνητόν ἐστι τὸ σῶμα.
πρώτην οὖν γένεσιν κινήσεως βουλόμενος δεῖξαι, οὐ πρώ- 43
την, ἀλλὰ δευτέραν ἔδειξεν. εἰ μὲν γὰρ τὸ μὴ κινούμενον
ἐκίνει, πρώτην ἐποίει κίνησιν· εἰ δὲ τὸ κινούμενον ἀφ' ἑαυτοῦ
καὶ ἄλλως κινεῖ, δευτέρας κινήσεως γένεσιν ἐξηγεῖται.
πόθεν οὖν πρώτη γένεσις τῆς κινήσεως τῷ σώματι; τὸ γὰρ
λέγειν, ἀφ' ἑαυτῶν κινεῖσθαι τὰ στοιχεῖα, τὰ μὲν κοῦφα
ὄντα φύσει, τὰ δὲ βαρέα, ψεῦδός ἐστιν. εἰ γὰρ ἡ κου-
φότης καὶ βαρύτης κίνησίς ἐστιν, οὐδέποτε στήσεται τὰ
κοῦφα καὶ βαρέα· ἵσταται δὲ, τὸν οἰκεῖον καταλαβόντα
τόπον· οὐκ ἄρα βαρύτης καὶ κουφότης αἰτίαι πρώτης

VAR. LECT. ET ANIMADV.

κινεῖσθαι. N. Mox ἀπὸ, loco ὑπό. M. 1. et deinde κινητοῦ, loco ἀκινήτου. Idem.

πόθεν οὖν — κινεῖσθαι] absunt. M. 1. Mox idem, ἀπὸ ψυχῆς.

πρώτην οὖν] πρώτην γοῦν. A. 2. Mox κίνησιν γενέσεως. M. 1.

εἰ μὲν γὰρ τὸ μὴ κινούμενον ἐκίνει, πρώτην] τὸ abest. A. 1. N. οὐ, loco τὸ μή. M. 1.

καὶ ἄλλως] *alia quoque*. Con. Omisso καὶ, *alioqui mouet*. Vall.

ἐξηγεῖται. πόθεν] Inter duo haec vocabula addit: πόθεν οὖν τὸ κινεῖσθαι, εἰ μὴ ἀπὸ ψυχῆς; οὐ γὰρ αὐτοκίνητόν ἐστι τὸ σῶμα. N. Sed haec paullo ante lecta sunt. Haec, antea omissa, hic addit. M. 1. Pro secundo πόθεν autem habet ὅθεν.

κοῦφα ὄντα φύσει] κοῦφα ὄντα τῇ φύσει. D. 1. φύσει abest. Vall. Mox ἡ ante κουφότης abest. M. 1. et inter κίνησίς ἐστιν et οὐδέποτε addit: ἀφ' ἑαυτῶν δὲ κινεῖται. N. Κίνησίς ἐστι reddidit Con. *causa motus est*, id est, αἰτία κινήσεώς ἐστι. Non male. Certe ita explicandum.

κοῦφα καὶ τὰ βαρέα] τὰ abest. D. 1. A. 1. 3. N. Mox ἴδιον, loco οἰκεῖον. M. 1. et τρόπον, loco τόπον. Idem. Καταλαμβάνοντα, pro καταλαβόντα. A. 3.

κουφότης καὶ βαρύτης αἰτίαι πρώτης κινήσεώς εἰσιν] βαρύτης καὶ κουφότης — εἰσιν. D. 1. A. 1. 2. Con. Vall. Sed A. 1. habet etiam αἰτία — ἐστι. Sic, omisso εἰσιν. N. αἰτία etiam. A. 3.

κινήσεώς εἰσιν, ἀλλὰ ποιότητες τῶν στοιχείων. ἐὰν δὲ καὶ τοῦτο δοθῇ, πῶς τὸ λογίζεσθαι καὶ δοξάζειν καὶ κρίνειν δύναται κουφότητος καὶ βαρύτητος ἔργα εἶναι; εἰ δὲ μὴ τούτων, οὐδὲ τῶν στοιχείων· εἰ δὲ μὴ τῶν στοιχείων, οὐδὲ τῶν σωμάτων. ἔτι, εἰ κατὰ συμβεβηκὸς ἡ ψυχὴ κινεῖται, τὸ δὲ σῶμα ἐξ ἑαυτοῦ, καὶ μὴ οὔσης τῆς ψυχῆς, τὸ σῶμα ἐξ ἑαυτοῦ κινηθήσεται· εἰ δὲ τοῦτο, καὶ ζῶον ἔσται χωρὶς τῆς ψυχῆς· ἄτοπα δὲ ταῦτα· ἄτοπον ἄρα καὶ τὸ ἐξ ἀρχῆς. ἀλλ' οὐδὲ τὸ λέγειν, ὅτι πᾶν τὸ φύσει κινούμενον, καὶ βίᾳ κινεῖται, καὶ πᾶν τὸ βίᾳ κινούμενον, καὶ φύσει κινεῖται, ἀληθές ἐστιν. ὁ γὰρ κόσμος, φύσει κινούμενος, βίᾳ οὐ κινεῖται· οὐ μὴν οὐδὲ, εἴ τι κατὰ φύσιν κινεῖται, τοῦτο καὶ κατὰ φύσιν ἠρεμεῖ. καὶ γὰρ ὁ κόσμος

VAR. LECT. ET ANIMADV.

ἀλλὰ ποιότητες] ἀλλ' αἱ ποιότητες. D. 1. Mox, πῶς τις λογίζεσθαι. N. πῶς λογίζεσθαι. M. 1.

πῶς τὸ λογίζεσθαι — κρίνειν] Con. ita: quo pacto existimare et *manuum complosione gestientes astruere*. Videtur ergo legisse, λογίζεσθαι καὶ συγκροτεῖν. Vulgata lectio Graeca optime se habet, quam hic fideliter expressit Vall.

εἰ δὲ μὴ τῶν στοιχείων] absunt. M. 1. A. 3.

οὐδὲ τῶν σωμάτων] legitur quidem ἀσωμάτων, sed α punctis notatum. D. 1. Mox omittit, τὸ δὲ σῶμα ἐξ ἑαυτοῦ. Con.

τῆς ψυχῆς ἐξ ἑαυτοῦ τὸ σῶμα] τῆς ψυχῆς, τὸ σῶμα ἐξ ἑαυτοῦ. D. 1. καὶ μὴ οὔσης τ. ψ. ἐξ ἑαυτοῦ absunt. A. 3. Mox κινήσεται. N.

τὸ ἐξ ἀρχῆς] quod a principio *sumptum est*. Vall. Quae est explicatio.

ἀλλ' οὐδὲ τὸ λέγειν — ἀληθές ἐστι] Con. ita: Sed neque omne, quod natura movetur, etiam vi moveri *dicendum est*, neque omne, quod vi movetur, natura item moveri. Omisso ergo in fine ἀληθές ἐστιν, in principio legit: ἀλλ' οὐδὲ δεῖ λέγειν, aut, ἀλλ' οὐδὲ ἔστι λέγειν.

βίᾳ οὐ κινεῖται] οὐ a prima manu insertum. D. 1. Mox, οὐ μὴν ad κινεῖται abest. N. Οὐδὲν, loco οὐδέ. M. 1.

τοῦτο καὶ κατὰ φύσιν] καὶ abest. D. 1. A. 2.

ἠρεμεῖ] In Cod. D. 1. a prima manu est ἠρεμεῖν et ἠρεμία. Sed manus recentior in his locis correxit ἠρεμεῖν et ἠρεμία. In reliquis Codd. est spiritus lenis.

καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, κατὰ φύσιν κινούμενοι, κατὰ φύσιν ἠρεμεῖν οὐ δύνανται. τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ, κατὰ φύσιν ἀεικίνητος οὖσα, κατὰ φύσιν ἠρεμεῖν οὐ δύναται. ἡ γὰρ ἠρεμία, φθορὰ τῆς ψυχῆς ἐστι καὶ παντὸς 44
ἀεικινήτου. πρὸς τούτοις καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς ἄλυτον μένει, πόθεν τὸ σῶμα συνέχεται, φύσει πεφυκὸς

VAR. LECT. ET ANIMADV.

κατὰ φύσιν κινούμενοι] κινουμένη, loco κινούμενοι. A. 1. Sic et A. 2. et mox, δύναται. Κατὰ φύσιν κινούμενα et mox δύναται. N.

τὸν αὐτὸν τρόπον — οὐ δύναται] abſunt. A. 2. καὶ, ante ἡ abeſt. N.

ἀεικίνητος οὖσα κατὰ φύσιν ἠρεμεῖν] ἀεικίνητος οὖσα, κινουμένη κατὰ φύσιν, ἠρεμεῖν. D. 1. Ante ἀεικίνητος, omittit κατὰ φύσιν. A. 3. Omiſſo ἀεικίνητος οὖσα, habet κινουμένη Vall.

ἡ γὰρ ἠρεμία] εἰ γὰρ ἠρεμία. A. 2. *Si enim ſit quies.* Vall.

ψυχῆς ἐστὶ καὶ παντὸς ἀεικινήτου] ψυχῆς (hic raſura ſublatum aut εἰ, aut ἐστὶ) εἰ ἀεικίνητος φύσει ἐστὶ, καὶ παντὸς ἀεικινήτου. D. 1. Credo, ſublatum eſſe ἐστί. Poſt ψυχῆς enim ſtatim voluerat ſcribere ἐστὶ, omiſſis εἰ ἀεικίνητος φύσει. Sed deinde haec inter ψυχῆς et ἐστὶν addidit. Arbitror, haec temere repetita eſſe ex ſuperioribus. Certe ſeriem orationis interrumpunt. Nec haec agnoſcit Cono, qui tamen καὶ παντὸς ἀεικινήτου male reddidit, *et omne jugiter mobile.* Debet eſſe genitivus, qui ab ἠρεμία *quies* pendet. Appendicem Codicis D. 1. excludit etiam Vall. Mox, πρὸς τούτοις φύσει καὶ τό. N.

ἄλυτον μένει] ἄπορον μένει. A. 1. In marg. Ant. vitioſe notatur ἄφορον, loco ἄπορον. Cono: *inexplicatum.* Idem poſt σκεδάννυσθαι addit, *corrumpique*, ſeu, καὶ φθείρεσθαι. Mire vero τὸ ἀπορούμενον ἐξ ἀρχῆς reddidit: quod jam a principio *praetactum* eſt. Reſpicit autem Nemeſius ſuperiora p. 29. τὰ σώματα τῇ οἰκείᾳ φύσει. Valla: Sed interim et illud necdum *ſolutum* eſt, quod a principio in quaeſtione fuit, unde *corpora* contineantur, natura ſuapte genita, ut diſpergantur.

πόθεν τὸ σῶμα συνέχεται] πόθεν συνέχεται τὸ σῶμα. D. 1. Mox idem, σκεδάννυσθαι. Et: φύσει συνέχεται, πεφυκὸς καὶ διασκεδάννυσθαι. N.

σκεδάννυσθαι. ἀρκεῖ καὶ ταῦτα ἐκ πολλῶν ἀποδεῖξαι, τὴν ψυχὴν μήτε ἐντελέχειαν οὖσαν, μήτε ἀκίνητον, μήτε ἐν σώματι γενομένην. Πυθαγόρας δὲ συμβολικῶς εἰκάζειν ἀεὶ καὶ τὸν Θεὸν καὶ πάντα τοῖς ἀριθμοῖς εἰωθὼς, ὡρίσατο καὶ τὴν ψυχὴν, ἀριθμὸν ἑαυτὸν κινοῦντα, ᾧ καὶ Ξενοκράτης ἠκολούθησεν. οὐχ ὅτι ἀριθμός ἐστιν ἡ ψυχὴ, ἀλλ' ὅτι ἐν τοῖς ἀριθμητοῖς ἐστι, καὶ ἐν τοῖς πεπληθυσμένοις, καὶ ὅτι ἡ ψυχή ἐστιν ἡ διακρίνουσα τὰ πράγματα, τῷ μορφὰς καὶ τύπους ἑκάστοις ἐπιβάλλειν. αὕτη γάρ ἐστιν, ἡ τὰ εἴδη ἀπὸ τῶν εἰδῶν χωρίζουσα, καὶ διάφορα αὐτὰ ἀποφαίνουσα, τῇ τε ἑτερότητι τῶν εἰδῶν καὶ τῷ πλήθει

VAR. LECT. ET ANIMADV.

ἀρκεῖ ταῦτα] ἀρκεῖ καὶ ταῦτα. D. 1. A. 2. 3. M. 1. ἀρκεῖ τ ταῦτα. Sic. A. 1. Ergo et hic, ut credo, poſtea voluit addere καί. Ἀρκεῖ δὲ ταῦτα. N. *Haec ex multis ſuffiiant.* Vall. Cono videtur legiſſe: ἀρκούντως δὲ καὶ ταῦτα ἐκ πολλῶν ἀποδείξειε. Nam a principio addit *tamen*, et in fine habet: vel haec ex multis abunde demonſtraverint.

μήτε ἀκίνητον] μήτε ἀεικίνητον. A. 3.

ἐν σώματι γινομένην] ἐν σώματι γενομένην. D. 1. A. 1. 2. 3. Loco ἐν σώματι conjici poſſit ἐνσώματον, ut aequale ſit τῷ ἀκίνητον. Sed antea et paullo inferius eſt, ἐν σώματι κτιζομένην. p. 45. Cono et Valla, qui *genitam* habent, videntur legiſſe γεννωμένην aut γεννηθεῖσαν. Non male. Nam ſupra et infra ex mente Ariſtotelis eſt: γεννηθεῖσα ἡ ψυχὴ ἐν τῷ σώματι. vid. pag. 41. 45. Mox, καὶ τὰ πάντα. N.

Πυθαγόρας] Hic incipit Con. libri 2. cap. 5. Animam non eſſe numerum. Ceterum contra hoc diſputat etiam Ariſtot. de anima I, 4. circa finem.

θεὸν καὶ πάντα] καὶ abeſt. A. 3.

ἐν τοῖς ἀριθμητοῖς ἐστι] ἀριθμοῖς, loco ἀριθμητοῖς. D. 1. *Numerabilibus.* Con. *Quod inter numeros deputetur ac multiplicationes.* Vall.

τὰ πράγματα] τὰ πάντα πράγματα. M. 1.

τῷ μορφὰς ad ποιοῦσα τὰ πράγματα] abſunt. Tranſierunt ab uno πράγματα ad alterum. A. 1. Vall. Τῷ, ante μορφὰς, ex correctione. Antea erat τό. D. 1.

ἑκάστοις ἐπιβάλλειν] ἑκάστοις ὑποβάλλειν. A. 2. ἑκάστοις ἐπιβαλεῖν. N. ἑκάστοις omittit A. 3.

τοῦ ἀριθμοῦ, καὶ διὰ τοῦτο ἀριθμητὰ ποιοῦσα τὰ πράγμα-
τα. ὅθεν οὐ παντάπασιν ἀπήλλακται τῆς κατὰ τοὺς
ἀριθμοὺς κοινωνίας. τὸ δὲ αὐτοκίνητον καὶ αὐτὸς αὐτῇ
προσεμαρτύρησεν. ὅτι δὲ ἀριθμὸς οὐκ ἔστι, δῆλον ἐντεῦ-
θεν. ὁ ἀριθμὸς ποσόν ἐστιν· ἡ δὲ ψυχὴ οὐ ποσὸν, ἀλλ'
οὐσία· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ, εἰ καὶ τὰ μάλιστα καὶ
τὸν ἀριθμὸν ἐν τοῖς νοητοῖς οὐσίαν εἶναι βούλονται, ὡς ἐν
τοῖς ἑξῆς ἐροῦμεν. ἔτι, ἡ ψυχὴ συνεχής ἐστιν· ὁ δὲ
ἀριθμὸς οὐ συνεχής· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. ἔτι, ὁ
ἀριθμὸς ἤτοι ἄρτιός ἐστιν ἢ περιττός· ἡ δὲ ψυχὴ οὔτε
ἄρτιος, οὔτε περιττή· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. ἔτι, ὁ
ἀριθμὸς κατὰ προσθήκην αὔξεται· ἡ δὲ ψυχὴ κατὰ προσ-
θήκην οὐκ αὔξεται. ἔτι, ἡ ψυχὴ αὐτοκίνητός ἐστιν· ὁ δὲ 45
ἀριθμὸς ὁ ὡρισμένος ἀκίνητος. ἔτι, ὁ μὲν ἀριθμὸς, μένων
εἷς καὶ ὁ αὐτὸς τὴν φύσιν, οὐδὲ μίαν ποιότητα τὴν ἐν

VAR. LECT. ET ANIMADV.

καὶ αὐτὰς αὐτῇ προςεμαρτύρησεν] αὐτὰς eſt vitium. Ergo αὐτός. D. 1. A. 1. 2. 3. M. 1. Ox. N. Sed A. 2. exhibet etiam ἑαυτῇ. Mox, ἡ ψυχὴ δὲ οὐ. N. Valla ſuperius ἀπήλλακται reddidit, *videbitur abalienari*. Deinde haec ita: At et ipſe quum ait, numerum ſe ipſum moventem, numerum non eſſe atteſtatus eſt. Ac ſi legerit: Τῷ δὲ λέγειν, ἀριθμὸν ἑαυτὸν κινοῦντα, καὶ αὐτὸς, ὅτι ἀριθμὸς οὐκ ἔστι, προςεμαρτύρησεν.

τὰ μάλιστα καὶ τὸν ἀριθμὸν] καὶ abeſt. D. 1. Mox βούλεται. M. 1.

ἔτι ὁ ἀριθμὸς κατὰ προςθήκην — οὐκ αὔξεται] Hanc ſectionem poſt proximam, hoc eſt, poſt verba, οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ, exhibent D. 1. A. 1. 2. 3. Con. Vall. Vulgatum ſervat N.

ἄρτιός ἐστιν ἢ] ἤτοι ἄρτιός ἐστιν, ἤ. D. 1. A. 1. 2. 3. *Aut — aut*. Vall.

οὔτε ἄρτιος] οὐκ ἄρτιος. D. 1.

ἀριθμὸς ὡρισμένως] ἀριθμὸς ὁ ὡρισμένος. D. 1. A. 1. 2. 3. N. Con. Vall. Ergo in verſione latina correxi *definitus*, loco *definite*.

ἀριθμὸς μένων εἷς] ἀριθμὸς ὢν εἷς. A. 2. *Manet*, et mox omittit τὴν φύσιν. Vall.

ὁ αὐτὸς τὴν φύσιν] ὁ αὐτὸς τῇ φύσει. D. 1. A. 2. Sic, omiſſo ὁ. A. 3.

ἀριθμοῖς γινομένην ὑπαλλάξαι δύναται· ἡ ψυχὴ δὲ, μία καὶ ἡ αὐτὴ μένουσα κατὰ τὴν οὐσίαν, ὑπαλλάττει τὰς ποιότητας, ἐξ ἀμαθίας εἰς ἐπιστήμην μεταπίπτουσα, καὶ ἐκ κακίας εἰς ἀρετήν· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. τὰ μὲν οὖν τῶν παλαιῶν δόγματα περὶ ψυχῆς τοιαῦτα. Εὐνόμιος δὲ ὡρίσατο τὴν ψυχὴν, οὐσίαν ἀσώματον ἐν σώματι κτιζομένην, συμφρονήσας ὁμοῦ Πλάτωνι καὶ Ἀριστοτέλει. τὸ μὲν γὰρ, οὐσίαν ἀσώματον, ἐκ τοῦ Πλάτωνος εἴληφε· τὸ δὲ, ἐν σώματι κτιζομένην, ἐκ τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας· οὐκ ἐννοήσας, καί περ ὀξὺς ὢν, ὅτι συνάγειν εἰς ταὐτὸ πειρᾶται τὰ ἀσύμβατα. πᾶν γὰρ τὸ γένεσιν ἔχον, σωματικὴν ὁμοῦ καὶ χρονικὴν, φθαρτόν ἐστι καὶ θνητόν. συνᾴδει δὲ τούτοις καὶ τὰ Μωϋσέως. τὴν γὰρ

VAR. LECT. ET ANIMADV.

ὑπαλλάξαι] ἀπαλλάξαι. A. 1. ἐξαλλάσσεται, omiſſo δύναται. N. *Nec ulla numeris ingenita qualitas poteſt commutari.* Vall.

ψυχὴ δὲ μία] ἡ ψυχὴ δὲ μία. D. 1. A 2. N. ἡ δὲ ψυχὴ μία καὶ αὐτή. A. 3. Praeterea nota a man. rec. in marg. ὅτι ποιότης ἡ κακία καὶ ἡ ἀρετὴ καὶ ἡ ἀμαθία καὶ ἡ γνῶσις. D 1.

καὶ ἡ αὐτὴ μένουσα] τις οὖσα. N. et mox, καταπίπτουσα. Idem. *Qualitatem*, loco *qualitates*. Con.

Εὐνόμιος] Paullo ante omittit, περὶ ψυχῆς, et hic libri 2. cap. 6. incipit: Adverſus Eunomium et Apollinarium, Epiſcopos haereticos, quorum uterque huic ſancto patri contemporaneus fuit. Con. In A. 3. ante εὐνόμιος notatur: ὅρος ψυχῆς. Mox, Eunomius *poſt illos* animam definivit. Vall.

συμφωνήσας ὁμοῦ Πλάτωνι] συμφρονήσας, loco συμφωνήσας. D. 1. A. 1. καὶ, ante πλάτωνι, addit A. 2.

τὸ μὲν οὖν οὐσίαν] οὖν, loco γάρ. D. 1. τὸ μὲν οὖν ἀσώματον. N.

ἀσώματον ἐκ τοῦ Πλάτωνος εἴληφε] poſt ἀσώματον addit: ἐκ τῆς ἀληθείας. A. 2. Sed ita requiritur καὶ poſt ἀληθείας. Apud Cononem *recepit*, loco *recedit*, id eſt, εἴληφε, corrigendum.

ἐκ τῆς Ἀριστοτέλους] ἐκ τῆς τοῦ ἀριστοτέλους. A. 2. Paullo poſt, σωματικὸν ὁμοῦ καὶ χρονικόν. N. M. 1.

τὰ Μωϋσέως· τὴν — γένεσιν] τὰ μωσέως· τὴν γὰρ ὕλην τῶν αἰσθητῶν πάντων γένεσιν. D. 1. Μωσέος exhibet A. 3.

Paul-

(ὕλην) τῶν αἰσθητῶν (πάντων) γένεσιν ὑπογράφων, οὐκ ἐν αὐτῇ δὲ καὶ τὴν τῶν νοητῶν ῥητῶς ἔφησεν ὑποστῆναι φύσιν· ἀλλ' εἰκάζοντές τινες τοῦτο δοξάζουσιν, οἷς οὐ πάντες συμφέρονται. εἰ δέ τις ἐκ τοῦ μετὰ τὴν διάπλασιν τοῦ σώματος ἐμβεβλῆσθαι τὴν ψυχὴν ἡγοῖτο μετὰ τὸ σῶμα γεγενῆσθαι αὐτὴν, διαμαρτάνει τῆς ἀληθείας. οὔτε γὰρ ὁ Μωϋσῆς τότε αὐτὴν ἐκτίσθαι λέγει, ὅτε τῷ σώματι

VAR. LECT. ET ANIMADV.

Paullo ante, συνᾴδει δὲ τούτῳ. N. Idem post μωϋσέως ita pergit: τὴν γὰρ ὕλην πάντων γένεσιν ὑποτίθεται, ὡς δοξάζουσιν οἱ τοῦ πλάτωνος λόγοι, καὶ συμφέρονται.

τὴν γὰρ τῶν αἰσθητῶν ad πάντες συμφέρονται] Haec, pluribus omissis, ita Cono reddidit: Nam is omnium generationem, intelligibilibus exceptis, materiam scribit, cui etiam Platonis affectatores astipulantur. Haec ergo Graece ita fere sunt: ἐκεῖνος γὰρ πάντων γένεσιν, χωρὶς τῶν νοητῶν, τὴν ὕλην ὑπογράφει, ᾧ καὶ οἱ ἀπὸ πλάτωνος συμφέρονται. Partim ergo consentit cum N., partim cum aliquibus Codicibus habet τὴν ὕλην et πάντων. Nihilo minus tamen arbitror, non opus esse vocabulo τὴν ὕλην. Sufficit enim, τὴν τῶν αἰσθητῶν πάντων γένεσιν. Per se enim intelligitur γένεσις ἐξ ὕλης τινός. Sic ἐν αὐτῇ refertur ad γένεσιν, pro quo tamen conjici possit ἐν αὐτοῖς, id est, τοῖς αἰσθητοῖς, hoc sensu: *neque tamen diserte dixit, inter illa* (sensibilia) *intelligibilium etiam naturam extitisse*, seu, *procreatam esse*. Cum his consentit, quod mox subjicit, de anima non post corpus creata. Superius συνᾴδει vero non refertur ad opinionem Eunomii, sed ad ea, quae proxime antecedunt, nimirum, πᾶν τὸ γένεσιν ἔχον — φθαρτὸν εἶναι καὶ θνητόν. Valla ita habet: Sensibilium namque describens generationem rationalium naturam ostendendam diserte duxit.

οὐκ ἐν αὐτῇ καὶ τὴν] οὐκ ἐν αὐτῇ δὲ καὶ τήν. D. 1. A. 2.

εἰ δέ τις ἐκ τοῦ] δή, loco δέ. Ox. εἰ δέ τις μετὰ — ἐμβεβλῆσαι τὴν ψυχὴν, ἤτοι μετὰ τὸ σῶμα. N. Valla: Si quis autem, ex quo generatio corporis fuit, editam animam putat, a vero aberrat.

ἡγοῖτο μετὰ τὸ σῶμα γεγενῆσθαι αὐτὴν] absunt. A. 1. ἡγοῖται (sic) et paullo ante, ἐκβεβλῆσθαι. A. 3. Ante μετὰ *sive*, id est, ἤ, addit Con.

ὁ Μωσῆς] ὁ μωϋσῆς. D. 1. A. 1. 3. Ox. N. Mox corri-

gen-

ἐνεβάλλετο· οὔτε κατὰ λόγον οὕτως ἔχει. ἢ τοίνυν θνητὴν
αὐτὴν λεγέτω, ὡς Ἀριστοτέλης, φήσας αὐτὴν ἐν σώματι
γεννᾶσθαι καὶ ὡς οἱ στωϊκοί· ἢ λέγων, οὐσίαν ἀσώματον,
46 παραιτείσθω λέγειν, ἐν σώματι κτιζομένην, ἵνα μὴ θνητῆς
ψυχῆς ἔννοιαν ἡμῖν παραστήσῃ καὶ παντελῶς ἀλόγου. ἄλ-
λως τε, κατ' αὐτὸν οὔπω πλήρης ἐστὶν ὁ κόσμος, ἀλλ'
ἡμιτελὴς ἔτι καὶ νῦν, καὶ προσθήκης ἀεὶ δεόμενος. πεν-
τάκις μύριαι γοῦν τοὐλάχιστον καθ' ἑκάστην ἡμέραν οὐσίαι
νοηταὶ προσγίνονται αὐτῷ, καὶ τὸ χαλεπώτατον, ὅταν
τελεσιουργηθῇ, τότε διαλυθήσεται κατ' αὐτὸν, τῶν τελευ-
ταίων ἀνθρώπων, τῶν πρὸς τῇ ἀναστάσει, τὸν ψυχικὸν
ἀριθμὸν ἀποπληρούντων· οὗ τί ἂν γένοιτο ἀλογώτερον,
τότε φάσκειν διαφθείρεσθαι τὸν κόσμον, ὅταν πληρωθῇ.

VAR. LECT. ET ANIMADV.

gendum ἐκτίσθαι, loco κεκτίσθαι, ut habent Codd. Hoc ſine ſenſu Valla reddidit *exponi*. Forte ἐκτίθεσθαι inuenit. Ut hic eſt ἐκτίσθαι, ita Euſtathius notat ἐκτῆσθαι a κτάομαι. Vide ad Il. ι. p. 759, 41. ſeqq. In Codice A. 3. eſt καὶ ἐκτίσθαι, quod mihi perplacet. Ex eo ortum videtur κεκτίσθαι.

ἐνεβάλετο] ἐνεβάλλετο. D. 1. A. 1. 2. N. *Immittebatur*. Con. *Injecta eſt*. Vall. συνεβάλετο. A. 3.

τοίνυν θνητὴν αὐτὴν] τοίνυν αὐτὴν θνητήν. D. 1. εἰ τοίνυν θνητὴν αὐτὴν λέγουσιν ὡς. N. M. 1.

καὶ οἱ στωϊκοὶ] καὶ ὡς οἱ στωϊκοί. A. 1. 2. 3. Vall. Sic, ſed στοϊκοί. D. 1. Mox ἔλεγον, loco ἢ λέγων. M. 1. Idem mox poſt παραιτείσθω addit δέ.

θνητῆς ψυχῆς — ἀλόγου] θνητὴν et ἄλογον habet et ad ἔννοιαν retulit Valla ita: animae intelligentiam — mortalem et omnino irrationalem. Ἀλόγου referri poteſt ad ψυχῆς, ut θνητῆς. Intelligi vero etiam poteſt πράγματος. Sic antea, οὐ κατὰ λόγον οὕτως ἔχει.

οὔπω πλήρης] οὐ πλήρης. M. 1. N. Mox, ἡμιτελής ἐστι καὶ νῦν. Idem.

καὶ προσθήκης ἀεὶ] καὶ abeſt. D. 1. N. *Et additamenti continue ac ſemper egens*. Vall.

πεντάκις μυρίαι] πεντακισμύριαι. D. 1. *Quinque milia*. Vall.

τὸ ἐλάχιστον] τοὐλάχιστον. A. 1. 2. 3. Ita ex correct. D. 1. Mox ἡμέραν omittit A. 3. Paullo poſt, διαλυθήσεται κατ' αυτοῦ. N. Paullo poſt loco ψυχικὸν, habet ψυχῶν, *animorum*, Con.

κομιδῆ γὰρ νηπίων παίδων ὁ τρόπος οὗτος, ἐν ψάμμῳ τῆς παιδιᾶς εὐθὺς μετὰ τὸ πληρῶσαι συγχεόντων τὰ γενόμενα. τὸ γὰρ λέγειν, προνοίας λόγῳ νῦν τὰς ψυχὰς γίνεσθαι καὶ οὐχὶ κτίσεως· οὐ γὰρ καινὴν οὐσίαν, οὐδὲ ἄλλην παρὰ τὴν οὖσαν εἰσάγεσθαι, ἀλλὰ τὴν οὖσαν κατὰ πρόνοιαν πλειστηριάζεσθαι· ἀγνοούντων ἐστὶ διαφορὰν κτίσεως καὶ προνοίας. προνοίας μὲν γὰρ ἔργον ἐστὶ, τὸ ἐξ ἀλληλογονίας διασώζειν τὴν τῶν φθαρτῶν ζώων οὐσίαν· λέγω δὲ, τῶν μὴ κατὰ σηπεδόνα γινομένων· ἐπειδὴ τὴν τούτων διαδοχὴν σηπεδὼν πάλιν ἑτέρα διαφυλάττει· κτίσεως δὲ τὸ κράτιστον ἔργον, τὸ ἐξ οὐκ ὄντων ποιεῖν. εἰ τοίνυν ἐξ ἀλληλογονίας αἱ ψυχαὶ

VAR. LECT. ET ANIMADV.

κομιδῆ γὰρ] Laudat haec Casp. Barthius ad locum similem Zachariae Mitylen. pag. 257. Locus Zachariae est p. 169. ἀλλὰ παιδικὸν ἄθυρμα τοῦτόγε, παρ᾽ ἠϊόνα παιζόντων, καὶ ἐκ ψάμμου συντιθέντων καὶ λυόντων.

ἐν ψάμμῳ· τῆς παιδιᾶς εὐθὺς] ἐν ψάμμῳ τὰ τῆς παιδιᾶς (sic. Accentus ex correct.) ποιούντων, καὶ εὐθύς. D. 1. τὰ τῆς παιδιᾶς ποιούντων καὶ εὐθὺς non displicet mihi quidem. Valla totum hoc inepte ac ridicule reddidit, forte non sua, sed Codicis culpa.

μετὰ τὸ πληρῶσαι] μετὰ τὸ συμπληρῶσαι. A. 2.

γενόμενα πράγματα] πράγματα abest. D. 1. A. 1. 2. Con. γενόμενα abest. N. Ejus loco γινόμενα. M. 1. γινόμενα, omisso πράγματα. A. 3. Mox κοινὴν, loco καινήν. N. Sed καὶ νῦν. M. 1.

οὐδὲ ἄλλην παρὰ τὴν οὖσαν] οὐδ᾽, loco οὐδέ. D. 1. Mox loco πληστηριάζεσθαι, est πλειστηριάζεσθαι. D. 1. A. 1. 2. 3. Ox. Istud habet etiam N. πληστηριάζεται. M. 1. πλειστηριάζεσθαι hoc loco est *multiplicari*. Nam interpretationes Hesychii, Harpocrationis ac ceterorum Grammaticorum, qui id reddunt, *pretium emtionis augere*, alio spectant. Princeps notio est *multiplicare*.

κατὰ σηπεδόνα γενομένων] κατὰ σηπ. γινομένων. D. 1. A. 2. 3. N. Non sane eorum dico, quae ex putrefactione generantur. Con. Non per putrefactionem inquam genitorum. Vall.

διαδοχὴν] διαφορὰν ἢ διαδοχὴν et mox ἑτέραν. M. 1.

διαφυλάττει] Sic. Sed in marg. a man. rec. γρ. διαδέχεται. D. 1. Ergo is, qui hunc Codicem tractavit ac subinde correxit, alium Codicem ad manus videtur ha-

γίνονται, λόγῳ προνοίας γίνονται, καὶ φθαρταί εἰσι, καθάπερ τὰ ἄλλα, τὰ ἐκ διαδοχῆς γένους γινόμενα· εἰ δὲ ἐξ οὐκ ὄντων παράγονται, κτίσις ἐστὶ τὸ γινόμενον, καὶ οὐκ
47 ἔστιν ἀληθὲς τὸ τοῦ Μωϋσέως, τὸ, κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· ἄτοπα δὲ ἀμφότερα· οὐκ ἄρα νῦν αἱ ψυχαὶ γίνονται. τὸ γὰρ, ὁ πατήρ μου ἐργάζεται, οὐκ ἐπὶ τοῦ κτίζειν, ἀλλ᾽ ἐπὶ τοῦ προνοεῖν εἰρῆσθαι, καὶ αὐτῷ δοκεῖ. Ἀπολιναρίῳ δὲ δοκεῖ, τὰς ψυχὰς ἀπὸ τῶν ψυχῶν τίκτεσθαι, ὥσπερ ἀπὸ τῶν σωμάτων τὰ σώματα. προϊέναι γὰρ τὴν ψυχὴν κατὰ

VAR. LECT. ET ANIMADV.

habuisse. Certe in neutra editione hoc legitur. Con. *salvare sine providentia potest.* Valla convenit cum Graeco Πάλιν tamen reddidit *semper*, i. e. ἀεί.

αἱ ψυχαὶ γίνονται καὶ φθαρταί εἰσι] Post ψυχαὶ additur: γίνονται, λόγῳ προνοίας. D. 1. A. 1. 2. 3. M. 1. Con. Vall. Ergo ab uno γίνονται ad alterum factus est transitus. Habet ista etiam Ellebodius in versione latina. Quo magis miror editorem Oxoniensem, qui haec latine refert, graece omittit. Vide eum p. 76. 77. Ellebodium facile excuso. Is enim Patavii fuit, cum libellus Antverpiae imprimeretur.

γένους γινόμενα] γένους γενόμενα. A. 3.

τὸ τοῦ Μωϋσέως] τὸ μωσέως. D. 1. τὸ μωϋσέως. A. 1. τῷ (sic) μωσέως. A. 2. τὸ τοῦ μωσέος. A. 3.

οὐκ ἄρα νῦν αἱ ψυχαὶ] αἱ abest. A. 2. νῦν omittit. Con. Mox, πατήρ μου ἕως ἄρτι ἐργάζεται. N. ὁ πατήρ μου ἔτι ἐργάζεται. A. 3. quod mihi quidem non displicet. Ἕως ἄρτι ex Evangelio interpositum arbitror. Ἔτι elegantius videbatur Nemesio. *Usque modo.* Con.

οὐκ ἐπὶ τοῦ κτίζειν κ. τ. λ.] Cono ita: non de creatione, ut illi videtur, sed *provisione et ut bene sint*, accipiendum est. Equidem plane acquiesco in Graeco, quod Valla etiam expressit.

καὶ αὐτῷ δοκεῖ] Sic ex correct., antea αὐτό. D. 1. καὶ αὐτῷ δοκεῖ ἀπολιναρίῳ. τὰς ψυχάς. N. Αὐτῷ refertur ad Eunomium.

ἀπολιναρίῳ δὲ] ἀπολινάριος δέ. D 1. *Apollinarius autem censet* Vall. Ubique in optimis Codd ἀπολινάριος, uno λ. inveni. Mox, τὰ σώματα, ante προϊέναι abest. N.

τῶν ψυχῶν τίκτεσθαι] τῶν ψυχῶν κτίζεσθαι. A. 3.

διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου πάντας (τεχθέντας,) καθάπερ τὴν σωματικὴν διαδοχήν. μήτε γὰρ ἀποκεῖσθαι ψυχὰς, μήτε νῦν κτίζεσθαι ((φησί.) τοὺς γὰρ ταῦτα λέγοντας, συνεργὸν ποιεῖν τὸν Θεὸν τοῖς μοιχοῖς· καὶ γὰρ ἐκ τούτων παιδία τίκτεται· ψεῦδος δὲ εἶναι καὶ τὸ, κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιεῖν, εἴπερ ἔτι καὶ νῦν ψυχὰς δημιουργεῖ. ἀλλ᾽, εἰ πάντα τὰ κατὰ διαδοχὴν ἐξ ἀλληλογονίας γεννώμενα δέδεικται θνητά· διὰ γὰρ τοῦτο γεννᾷ καὶ γεννᾶται, ἵνα τῶν φθαρτῶν διαμείνῃ τὸ γένος· ἀνάγκη, καὶ τοῦτον, ἢ θνητὴν εἶναι λέγειν τὴν ψυχὴν ἐξ ἀλληλογονίας γινομένην, ἢ μὴ κατὰ διαδοχὴν ἐξ ἀλλήλων γεννᾶσθαι τὰς ψυχάς. τὸ γὰρ ἐπὶ τῶν ἐκ μοιχείας γεννωμένων τῷ τῆς προνοίας λόγῳ καταλίπωμεν, ἀγνώστῳ παρ᾽ ἡμῖν ὄντι. εἰ

VAR. LECT. ET ANIMADV.

ἐξ ἐκείνου πάντας, καθάπερ] ἐξ ἐκείνου πάντας τεχθέντας, καθάπερ. D. 1. ἐξ ἐκείνου τεχθέντας, καθάπερ. A. 2. N. *Qui ex illo descenderunt.* Con. τεχθέντας non agnoſcit Vall.

ἀποκεῖσθαι ψυχὰς] Intellige, ἐξ ἀρχῆς κτισθέντας. Res enim dicitur ἀποκεῖσθαι, quae ad futurum uſum reconditur et ſervatur. Cono reddidit, *conſtitui.* Valla, *reſidere.*

μήτε νῦν κτίζεσθαι] μήτε νῦν κτίζεσθαί φησι. D. 1. Paullo poſt, ἃ ἤρξατο ποιεῖν. N.

παιδία τίκτεται] malim, παιδία τίκτεσθαι. Valla: *Quod ex his filii procreentur.* παιδία τίκτονται. A. 3.

ἀνάγκη καὶ τοῦτον] ἀνάγκη καὶ τούτων. M. 1.

ἐξ ἀλληλογονίας γινόμενα] γεννώμενα, loco γινόμενα. D. 1. A. 1. 2. *Genita.* Con. Vall. γενόμενα, pro γινόμ. A. 3. Mox, διὰ τοῦτο γὰρ γεννᾷ. N. Deinde: καὶ τούτων ἢ θνητήν. Idem. καὶ τοῦ ἢ θνητήν. A. 3. Τοῦτον refertur ad Apolinarium.

κατὰ διαδοχὴν ἐξ ἀλληλογονίας γεννᾶσθαι] κατὰ διαδοχὴν ἐξ ἀλλήλων γεννᾶσθαι. D. 1. A. 1. 2. 3. Paullo ante γενομένην, loco γιν. A. 3. *Ex ſe invicem.* Con. *Succeſſione alternae generationis.* Vall. Ἀλληλογονίας ſervat et paullo ante γεννωμένην, loco γινομένην habet. N.

ἐκ μοιχείας γεννωμένων] ἐκ μοιχ. γινομένων. M. 1.

λόγῳ καταλίπωμεν] λόγῳ καταλείπομεν. D. 1. N. et mox,

δεῖ

δέ τι δεῖ καὶ τῆς προνοίας καταστοχάσασθαι, πάντως
οἶδε, τὸ τικτόμενον ἢ τῷ βίῳ, ἢ ἑαυτῷ χρήσιμον ἐσόμενον·
καὶ διὰ τοῦτο συγχωρεῖ τὴν ἐμψύχωσιν γίνεσθαι. ἱκανὸν
δὲ τεκμήριον τούτου λαμβάνομεν, τὸν ἐκ τῆς τοῦ Οὐρίου
(γυναικὸς) καὶ τοῦ Δαυὶδ γεννηθέντα Σολομῶνα. ἑξῆς
48 ἐπισκεψώμεθα καὶ τὴν δόξαν τῶν Μανιχαίων, ἣν ἔχουσι
περὶ τῆς ψυχῆς. Φασὶ μὲν γὰρ αὐτὴν ἀθάνατον καὶ ἀσώ-
ματον· μίαν δὲ μόνην εἶναι, τὴν τῶν πάντων ψυχὴν, κα-
τακερματιζομένην καὶ κατατεμνομένην εἰς τὰ καθ' ἕκαστα
σώματα, ἄψυχά τε καὶ ἔμψυχα· καὶ τὰ μὲν πλείονος αὐ-

VAR. LECT. ET ANIMADV.

δεῖ κατὰ τῆς προνοίας, N. A πάντως ita pergit Valla: Undecunque novit *deus omnia*, *novit* partum aut vitae *ejus*, aut ſibi utile ſuturum: et ob hoc animam concedit. *Vitae ejus* non eſt in Graeco. Vulgo reddunt, *vitae communi*. Βίος ſunt *homines certo tempore una viventes*. Ita Thucyd. VI, 16. ὁ κατ' ἐμὲ βίος, *homines, qui meo tempore vivunt*. Adde Xenoph. Oecon. V, 11. ἐπιμέλεια — ὠφέλιμος εἰς τὸν βίον, i. e. *utilis vitae humanae*. Sic hoc loco.

ἐμψύχωσιν γίνεσθαι] ἐμψ. γίγνεσθαι. D. 1. A. 3. Mox, τοῦτο λαμβάνομεν. N.

τῆς τοῦ Οὐρίου — Σολομῶνα] σολομῶντα, loco σολομῶνα. A. 3. τῆς οὐρίου γυναικὸς καὶ τοῦ δαυὶδ σολομῶνα γεννηθέντα. D. 1. τῆς οὐρίου γυναικὸς exhibet etiam A. 2. Τοῦ, ante δαυὶδ, abeſt. N. Idem poſt σολομῶνα addit: ὡς κατὰ νόμον τὸν θεῖον τικτομένῳ ὡς καὶ ἐπὶ σολομῶντι τῷ δαυὶδ γεννῶνται τὰ γεννώμενα. Editor tamen haec incluſit. Mox, ἐπισκεψόμεθα. D. 1.

ἑξῆς ἐπισκεψώμεθα] Incipit libri 2. cap. 7. Adverſus Manichaeum delirum et de opinione Platonis de varietate animarum et Platonicorum circa haec diſſenſione. Con.

αὐτὴν ἀθάνατον καὶ ἀσώματον] ἀθάνατον αὐτὴν ἀθάνατον καὶ ἀσώματον. Sic. A. 2. αὐτ. ἀσώμ. καὶ ἀθάν. N.

τὴν τῶν ἁπάντων] τὴν τῶν πάντων. D. 1. A. 1. 2. Prorſus iſta omittit A. 3. Loco κατακερματιζομένην καὶ κατατεμνομένην Cono habet ſolum *dispertitam*. Sed inculcat, *devenire*. Forte ergo καταπεμπομένην legit. Valla: *deſectam atque deciſam*.

ἄψυχά τε καὶ ἔμψυχα] ἔμψυχά τε καὶ ἄψυχα. N. Idem mox, πλείονα, et paullo poſt, εἰς ταὐτὸν συνιέναι.

τῆς μετέχειν, τὰ δὲ ἐλάττονος· πλείονος μὲν, τὰ ἔμψυχα· ἐλάττονος δὲ, τὰ ἄψυχα· πολλῷ δὲ πλείονος, τὰ οὐράνια· ὡς τῆς καθόλου ψυχῆς μέρη τὰς καθ᾽ ἕκαστον εἶναι ψυχάς. καὶ εἰ μὲν ἀμερίστως μερίζεσθαι ταύτην ἔφασκον, ὡς τὴν φωνὴν ἐν τοῖς ἀκούουσι, μέτριον ἂν ἦν τὸ κακόν· νῦν δὲ τὴν οὐσίαν αὐτὴν τῆς ψυχῆς καταμερίζεσθαι λέγουσι· καὶ τὸ πάντων χαλεπώτατον, ὅτι κυρίως αὐτὴν ἐν τοῖς στοιχείοις εἶναι βούλονται, καὶ συμμερίζεσθαι τούτοις ἐν τῇ τῶν σωμάτων γενέσει, καὶ πάλιν εἰς ταὐτὸ συνιέναι διαλυομένων τῶν σωμάτων, ὡς ὕδωρ μεριζόμενον καὶ πάλιν συναγόμενον καὶ μιγνύμενον, καὶ τὰς μὲν καθαρὰς ψυχὰς χωρεῖν εἰς τὸ φῶς, φῶς οὔσας, τὰς δὲ μεμολυσμένας ὑπὸ τῆς ὕλης, χωρεῖν εἰς τὰ στοιχεῖα, καὶ πάλιν ἀπὸ τῶν στοιχείων εἰς τὰ φυτὰ καὶ τὰ ζῶα· καὶ οὕτω τὴν οὐσίαν αὐτῆς κατατέμνοντες, καὶ σωματικὴν ἀποφαίνοντες, καὶ πάθεσιν ὑποβάλλοντες, ἀθάνατον εἶναί φασι. περιπίπτουσι δὲ καὶ τοῖς ἐναντίοις. φάσκοντες γὰρ, ἀνατρέχειν τὰς μεμολυσμένας ψυχὰς ἐπὶ τὰ στοιχεῖα, καὶ συγκαταμί-

VAR. LECT. ET ANIMADV.

τὰς καθέκαστον] Immo, τὰς καθ᾽ ἑκάστην, id est, *fingulas animas*. Interpres Ellebodius ἕκαστον non tam ad σῶμα, quam ad πρᾶγμα videtur retuliffe. *In uno quoque*, reddidit Vall. Ergo loco ἐν ἑκάστῳ accepit. Cono habet: *fingulares animae*.

τὴν οὐσίαν αὐτὴν] τὴν οὐσίαν αὐτῆς. M. 1.

ψυχῆς καταμερίζεσθαι] ψυχῆς καὶ καταμερίζεσθαι. A. 2. Mox abeft, ἐν τοῖς, ante στοιχείοις. N.

φῶς φῶς οὔσας] Unum φῶς omittit. Ox. οὐκ, ante οὔσας, addit A. 2. Mox, χωρεῖν ὑπὸ τῆς ὕλης. A. 3.

ἀποφαίνοντες] ἀποφαίνονται. A. 2. Ejus loco iterum κατατέμνοντες. N. Mox, ἀποβάλλοντες. A. 3.

δὲ τοῖς ἐναντίοις] δὲ καὶ τοῖς ἐναντίοις. D. 1. A. 1. 2. 3. N. Vall.

μεμολυσμένας ψυχὰς] ψυχὰς abeft. M. 1.

ἐπὶ τὰ στοιχεῖα] ἐπὶ τὰ στοιχεῖα χωρεῖν. Tamen antea fervat etiam ἀνατρέχειν. Ox. Sic, fed omiffo ἀνατρέχειν. A. 3.

καὶ κατασυμμίγνυσθαι] καὶ καταμίγνυσθαι. D. 1. N. καὶ συμμίγνυσθαι. A. 1. 3. καὶ συγκαταμίγνυσθαι. A. 2. συγ-

γνυσθαι ἀλλήλαις, πάλιν αὐτὰς ἐν ταῖς μετενσωματώσεσι φασι τιμωρεῖσθαι, κατὰ τὸ μέγεθος τῶν ἁμαρτημάτων,
49 ἑνοῦντες αὐτὰς καὶ πάλιν χωρίζοντες καθ' ὑπόστασιν· καὶ γὰρ τὰς σκιὰς, φωτὸς μὲν ὄντος, χωρίζεσθαι, συννεφίας δὲ (καὶ νυκτὸς) γενομένης, ἑνοῦσθαι· ὅπερ ἀδύνατον ἐπὶ νοητῆς φύσεως γίνεσθαι. καὶ γὰρ αἱ σκιαὶ τῶν αἰσθητῶν εἰσιν, εἰ καὶ δοίη τὶς αὐτὰς χωρίζεσθαι καὶ πάλιν ἑνοῦσθαι. Πλάτων δὲ, καὶ μίαν εἶναι καὶ πολλὰς τὰς ψυχὰς, ἀποφαίνεται· μίαν μὲν γὰρ εἶναι τοῦ παντὸς τὴν ψυχὴν, εἶναι δὲ

VAR. LECT. ET ANIMADV.

συγκαταμιγνύναι habet Xenoph. Hier. VI, 2. Hujusmodi composita sunt usitatissima, rariora autem κατασυμμ. Sed κατασυστάντες ἐπὶ θέαν habet Xenoph. Oec. XVI, 7. *Et invicem inter se commisceri.* Vall. Ac si πάλιν legerit.

ἀντὶ τῆς σχέσεως] σχέσιν paullo ante Valla reddit *habitum.* Hoc vero loco, *detentionem.* Forte ergo offendit κατασχέσεως, quod tamen alienum eſt.

ἐκεῖ ἐνεργεῖ, λέγομεν] ἐκεῖ ἐνεργεῖ, καὶ λέγομεν. D. 1. ἐκεῖ ἐνεργεῖν, καὶ λέγομεν. A. 2. M. 1.

ἁρμόσειε] Cono incipit libri 2. cap. 12. Inducit, unionem Verbi dei ad humanam naturam ex unione animae noſtrae ad corpus fuiſſe poſſibilem, Porphyrii teſtimonio: ibique confutatur Eunomius haereticus.

ὁ λόγος] ὁ λόγος οὗτος. N. *Haec ratio.* Vall.

ἀσύγχυτος καὶ ἀπερίληπτος] καὶ abeſt. D. 1. A. 2.

οὐ κατὰ τὸν] Malim, οὐ μέντοι κατὰ τὸν, ne diſſoluta ſit oratio. Λόγον, loco τρόπον, habet A. 3. Mox idem πάσχειν, loco συμπάσχειν. Mox deeſt δι', poſt πως. M. 1.

οὐδὲν αὐτὸς ἀπὸ τῆς κοινωνίας] αὐτὸς omittit. D. 1. Mox, τῆς εἰς τὸ σῶμα. Idem et A. 3.

λοιούμενος, οὐδὲ μετέχων τῆς ἐκείνων ἀσθενείας, μεταδιδοὺς δὲ αὐτοῖς τῆς ἑαυτοῦ θεότητος, γίνεται σὺν αὐτοῖς ἓν, μένων ἐν ᾧπερ ἦν καὶ πρὸ τῆς ἑνώσεως· καινότερος οὗτος ὁ τρόπος τῆς κράσεως ἢ ἑνώσεως· καὶ κιρνᾶται καὶ μένει παντάπασιν ἄμικτος καὶ ἀσύγχυτος καὶ ἀδιάφθορος καὶ ἀμετάβλητος, οὐ συμπάσχων, ἀλλὰ συμπράττων μόνον, οὐδὲ συνφθειρόμενος καὶ συναλλοιούμενος, ἀλλὰ συναυξάνων μὲν ἐκεῖνα, αὐτὸς δὲ μὴ μειούμενος ὑπ' αὐτῶν, πρὸς τῷ μένειν ἄτρεπτος καὶ ἀσύγχυτος, ἐπειδὴ (καὶ) καθαρῶς πάσης

VAR. LECT. ET ANIMADV.

τῆς ἐκείνων ἀσθενείας] τῆς ἐκείνου ἀσθενείας. A. 2.

μεταδιδοὺς δὲ] ἐναποδιδοὺς δέ. Sed δὲ insertum a man. rec. D. 1. *Suae divinitatis virtutem*. Con. *Suam divinitatem*. Vall. Τῆς αὐτοῦ θεότητος. A. 3.

τῆς ἑαυτοῦ θεότητος γίνεται σὺν αὐτοῖς ἓν μένων, ἐν ᾧπερ ἦν] τῆς ἑαυτοῦ θειότητος τὴν δύναμιν, αὐτὸς μένων, ἐν οἷς ἦν. D. 1. Solum mutat hoc, ἓν, μένων ἓν, ὅπερ ἦν. A. 1. 3. Sic et Vall. τῆς ἑαυτοῦ θεότητος. γίνετε οὖν αὐτοῖς ἓν μένων, ὅπερ ἦν. A. 2. τῆς αὐτοῦ θεότητος τὴν δύναμιν, ὁ αὐτὸς μένων εν οἷς ἦν καὶ πρὸ τῆς ἑνώσεως. N. Cono videtur legiſſe: θεότητος δύναμιν μένει ὅπερ ἦν.

καινότερος οὗτος ὁ τρόπος] καινότερος ὁ τρόπος οὗτος. D. 1. Solum καὶ addit ante καινότερος. Ox. A καινότερος ad ἑνώσεως omittit Vall.

ἑνώσεως· καὶ κιρνᾶται καὶ] ἑνώσεως κεκίρναται, καί. D. 1. Sic, ſed γὰρ addit ante καί. Con. *Et copulatur et manet*. Vall. τῆς, ante ἑνώσεως, addit A. 3.

οὐ συμπάσχων] καὶ οὐ συμπάσχων. A. 2.

ἀλλὰ συναυξάνων κ. τ. λ.] ἀλλὰ συνάγων (ex correct. συναύξων) μὲν ἐκεῖνα (hic deleta, ita tamen, ut appareant: συμπάσχων ὁμοῦ καὶ συναύξων μετ' ἐκεῖνα.) αὐτὸς δὲ μή. A. 2. συνάγων, loco συναυξάνων, habet etiam D. 1. N. συναύξων exhibet A. 3. *Conjungens*. Con. *Pariter augens*. Vall.

ὑπ' αὐτῶν πρὸς τῷ μένειν] πρὸς abeſt. D. 1. Τὸ, loco τῷ. M. 1. A. 3. ὑπ' αὐτῶν πρὸς τὸ μεῖναι. A. 2. ὑπ' αὐτῶν μένει. N. πρὸς τῷ μένειν reddidit: *quominus maneat*. Vall.

ἐπειδὴ καὶ καθαρῶς] ἐπειδὴ καθαρός. D. 1. ἐπειδὴ καθαρὸς καὶ πάσης. Con. καὶ abeſt. N. *Quandoquidem prorſus intaminata* (i. e. ratio. Sic enim ſuperius λόγος reddidit.) *omnis expers eſt mutationis*. Vall. Infra p. 62. eodem modo variatur in καθαρῶς et καθαρός.

ἀλλοιώσεως ἀμέτοχός ἐστι. μάρτυς (δὲ) τούτου ἐστὶ Πορφύριος, ὁ κατὰ τοῦ Χριστοῦ κινήσας τὴν ἑαυτοῦ γλῶσσαν. ἰσχυραὶ δὲ τῶν ἐχθρῶν αἱ ὑπὲρ ἡμῶν μαρτυρίαι, καὶ μηδεμίαν ἀντιλογίαν ἐπιδεχόμεναι. οὗτος τοίνυν ὁ Πορφύριος ἐν τῷ δευτέρῳ λόγῳ (τῷ περὶ) τῶν συμμίκτων ζητημάτων γράφει κατὰ λέξιν οὕτως· οὐκ ἀπογνωστέον οὖν, ἐνδέχεσθαί τινα οὐσίαν παραληφθῆναι εἰς συμπλήρωσιν ἑτέρας οὐσίας,

VAR. LECT. ET ANIMADV.

μάρτυς τούτου ἐστὶ πορφύριος] μάρτυς δὲ τούτου πορφύριος. D. 1. *Testis est Porphyrius.* Con. *Hujus rei testis Porphyrius est.* Vall.

κατὰ τοῦ χριστοῦ] κατὰ τοῦ δόγματος χριστοῦ. D. 1. Post χριστοῦ expunctum δόγμα τέ. A. 2. *Utcunque* in Christum suam quatiens linguam, *inquiens:* Valida autem. Vall. Adversus Christianum dogma. Con. Idem proximum ὁ πορφύριος omittit.

ἰσχυραὶ δὲ τῶν ἐχθρῶν] τῶν ἐχθρῶν insertum. A. 2. ἰσχυραὶ δέ εἰσιν αἱ τῶν ἐχθρῶν μαρτυρίαι ὑπὲρ ἡμῶν, ὅταν μηδεμίαν ἀντιλογίαν ὦσιν ἐπιδεχόμεναι. N. ἐπιδεχομένων habet A. 3. Καὶ, ante μηδεμίαν, omittit Vall. Ellebodius reddiderat: *Sunt autem gravia inimicorum, a nobis quae sunt testimonia.* Haec, ut corrupta, ita Oxoniensis integritati restituit: *Sunt autem valida inimicorum testimonia, quae nobis perhibentur.* In graeco est: *gravia autem inimicorum pro nobis sunt testimonia.* Correxi ergo: *quae pro nobis sunt.*

λόγῳ τῶν συμμίκτων] λόγῳ τῷ περὶ τῶν συμμίκτων. D. 1. A. 2. Sic, omisso τῶν. N. In secunda, quam commixtarum quaestionum habuit, oratione. Vall. Index libri Porphyrii videtur fuisse, σύμμικτα ζητήματα. Vide Fabric. bibl. Gr. Vol. IV. p. 192. Λόγῳ τῷ περὶ omittit Con. Λόγος est *liber*, quod notum est.

γράφει κατὰ λέξιν] γράφει κατὰ χριστοῦ κατὰ λέξιν. D. 1.

οὖν ἐνδέχεσθαι τινὰ οὐσίαν] οὖν ἐστὶ δέχεσθαι οὐσίαν. D. 1. Mox συμπαραληφθῆναι. N. Cono ita: Non est abnuendum, quin accipere possimus quandam rem, ut non simul in intellectione ejus alia vel alia essentia comprehendatur, quae quidem res in sua propria natura post completam hujus vel illius rationem maneat, cum qua sane non fiat, sed suam naturalem per se servet unitatem. Et, quod majus est, ipsa immutabili manente, sua praesentia mutet ea, quibus se conjunxit, pro sua ope-

καὶ εἶναι μέρος οὐσίας, μένουσαν κατὰ τὴν ἑαυτῆς φύσιν,
61 μετὰ τὸ συμπληροῦν ἄλλην οὐσίαν, ἕν τε σὺν ἄλλῳ γενομένην, καὶ τὸ καθ' ἑαυτὴν ἓν διασώζουσαν· καὶ τὸ μεῖζον· αὐτὴν μὲν μὴ τρεπομένην, τρέπουσαν δὲ ἐκεῖνα, ἐν οἷς ἂν γίγνηται, εἰς τὴν ἑαυτῆς ἐνέργειαν τῇ παρουσίᾳ. λέγει δὲ ταῦτα περὶ τῆς ἑνώσεως τῆς ψυχῆς καὶ τοῦ σώματος. εἰ δὲ ἐπὶ τῆς ψυχῆς ἀληθὴς ὁ λόγος, διὰ τὸ ἀσώματον, πολλῷ πλέον ἐπὶ τοῦ Θεοῦ λόγου, τοῦ μᾶλλον ἀσυγκρίτως

VAR. LECT. ET ANIMADV.

operatione. Valla: Non ignorandum (ἀγνοητέον) igitur excipi (forte, ἐκδέχεσθαι. Male.) aliquam essentiam, quae ad *se* complendam alteram adsumat essentiam — unaque (forte, ἅμα τε συμπληροῦν) alteram complere essentiam *eatenus*, *quatenus* cum alio fuit producta et per se unum conservantem — actionem, quam ipsa praesens exhibet. Ἀπογνωστέον proprie est *desperandum*. Sed commode reddi potest, *abnuendum*. Nisi quis malit conjicere, οὐκ ἄπο γνώμης.

καὶ εἶναι μέρος οὐσίας μένουσαν κατὰ] καὶ εἶναι οὐσίας μέρος, μένουσαν δὲ κατά. D. 1. Sic, sed μένουσάν τε. A. 2. δὲ, post μένουσαν, addit N. Equidem malim, καὶ εἶναι μέρος ἑτέρας οὐσίας.

μετὰ τοῦ συμπληροῦν] τὸ, loco τοῦ. A. 2. D. 1. Forte, καὶ μετὰ τὸ συμπληροῦν.

οὐσίαν ἓν τὲ σὺν ἄλλῳ] οὐσίαν τε σὺν ἄλλῳ. D. 1. οὐσίαν ἕν τε σὺν ἄλλῳ. A. 1. 2. N.

ἐν οἷς ἂν γίγνηται] γίγνεται, loco γίγνηται. D. 1. γίνηται. A. 2. γίνηται, aut, γένηται. A. 1. ἐκεῖνα, τὰ ἐν οἷς ἂν γίγνηται. N.

λέγει δὲ] Cono: *Dicit autem hoc de unione Verbi dei cum anima et corpore.* Vulgatam defendunt, quae mox subjiciuntur. Valla: *haec sane ait de animae corporisque unione.*

εἰ δὲ ἐπὶ τῆς ψυχῆς] περὶ, loco ἐπί. D. 1. Sic et A. 2. Sed in marg. γρ. ἐπί. Totum sic: ἑνώσεως τοῦ Θεοῦ λόγου καὶ τοῦ σώματος. εἰ δὲ ἐπὶ τῆς ψυχῆς. N.

διὰ τὸ ἀσώματον] *quod sit corporea.* Vall. Immo, *incorporea.*

ἀσυγκρίτου καὶ κατὰ ἀλήθειαν] ἀσυγκρίτως κατὰ ἀλήθειαν. D. 1. A. 3. ἀσυγκρίτως καὶ κατὰ ἀλήθειαν. A. 1. 2. M. 1. N. Qui magis *et incomparabiliter* secundum veritatem. Con. ἀσυγχύτως Valla inepte reddidit, *inconcrete.*

καὶ κατὰ ἀλήθειαν ὄντος ἀσωμάτου. ὅπερ ἄντικρυς ἀποφράττει τὰ στόματα τῶν ἐπιχειρούντων κατηγορεῖν τῆς τοῦ Θεοῦ ἑνώσεως πρὸς τὸν ἄνθρωπον. τοῦτο γὰρ ἑλλήνων οἱ πολλοὶ γέλωτα ποιοῦνται, φάσκοντες, ἀδύνατον καὶ ἀπίθανον καὶ ἀπρεπὲς εἶναι, συγγενέσθαι θνητῇ φύσει τὸ θεῖον κατὰ κρᾶσιν καὶ ἕνωσιν· ἀλλ' ἡμεῖς τοῖς εὐδοκίμοις αὐτῶν χρησάμενοι μάρτυσιν ἀποδυόμεθα τὴν αἰτίαν. λέγεται δὲ

VAR. LECT. ET ANIMADV.

ὅπερ ἄντικρυς] ὅπερ ἄντικρυ. D. 1.

τῆς τοῦ θεοῦ ἑνώσεως] τῆς θείας τοῦ θεοῦ ἑνώσεως. A. 2.

τοῦτο γὰρ ἑλλήνων κ. τ. λ.] τὸ μὲν γὰρ ἐδειλίασεν οἱ πολλοὶ γελοῖον εἶναι τοῦτο ἔφασκον· τὸν δὲ θάνατον καὶ ἀπίθανον· τὴν δὲ ἕνωσιν, ἀπρεπὲς ἡνῶσθαι λέγειν τῇ φύσει τὸ θεῖον (φύσει τὸ θεῖον ex correct. in rasura, a prima, ut videtur, manu.) κατὰ κρᾶσιν καὶ ἕνωσιν. Sic omnia. D. 1. Sic etiam A. 2. Sed, λέγειν γενητῇ φύσει τὸ θεῖον κατὰ κ. τ. λ. N. ita habet: τὸ μὲν γὰρ ἐδειλίασεν οἱ πολλοὶ γελοῖον εἶναι ἔφασκον· τὸν δὲ θάνατον καὶ ἀπίθανον· τὴν δὲ ἕνωσιν καὶ ἀπρεπές. ἡνῶσθαι γὰρ ἐν τῇ φύσει τὸ θεῖον κατὰ κρᾶσιν καὶ ἕνωσιν. In lectione vulgata nemo offendet. Sermo eſt h. l. de ſola incarnatione Chriſti. Reliqua de timore et morte ejus aliquis, ut arbitror, margini adſcripſerat. Accedit, quod paullo poſt verba, τοῖς εὐδοκίμοις αὐτῶν, hoc loco poſtulat ἑλλήνων. Cono ita: Nam quod quidam dicere formidant, id multi ridiculum eſſe ajunt, ſicut enim mortem ejus exiſtere incredibilem, ita unionem quoque indecentem eſſe, generali ſcilicet naturae divinam ſecundum coagmentationem uniri. Sed nos ex ipſis complurium uſi teſtimonio, hanc litem finimus. Valla pauciſſima mutat in lectione vulgata. Habet enim: *At* hoc Graecorum — ridiculum *arbitrati ajunt* impoſſibile, *non* probabile — divinum (τὸ θεῖον. Immo, *deum.*) — *genitura eſſe conjunctum.* (Sic reddidit, συγγενέσθαι.) Πολὺν ſolum mutat, loco πολλοί. M. 1. οἱ, ante πολλοὶ, abeſt. A. 3.

καὶ ἀπίθανον] καὶ ἀνόητον addit A. 3.

ἀποδυόμεθα τὴν αἰτίαν] ἀποδιδόμεθα τὴν αἰτίαν. N. *Cauſam et rationem excutiamus.* Vall. Multo rectius hoc reddidit Ellebodius. Εὐδοκίμοις vero inter Graecos et gentiles inprimis adnumerat Porphyrium.

παρά τισι, καὶ μάλιστα παρὰ τοῖς Εὐνομιανοῖς, ἡνῶσθαι τὸν Θεὸν λόγον τῷ σώματι, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰς ἑκατέρου δυνάμεις. οὐ γὰρ εἶναι τὰς οὐσίας, τὰς ἑνωθείσας ἢ κραθείσας, ἀλλὰ τὰς δυνάμεις τοῦ σώματος ταῖς δυνάμεσι ταῖς θείαις συγκεκρᾶσθαι· δυνάμεις δὲ τοῦ σώματος, πάντως δήπου τοῦ ὀργανικοῦ, κατὰ Ἀριστοτέλην λέγουσιν εἶναι τὰς αἰσθήσεις· ταύταις οὖν αἱ θεῖαι δυνάμεις

VAR. LECT. ET ANIMADV.

καὶ μάλιστα παρὰ τοῖς εὐνομιάνοις] παρὰ omittit A. 2. 3. εὐνομιανοῖς habet D. 1. A. 1. 2. Ox. καὶ μάλιστα τοῖς εὐνομιανοῖς. N.

ἀλλὰ κατὰ τὰς ἑκατέρου δυνάμεις] ἀλλὰ κατὰ τὸ τὰς (et in marg. ἐν ἄλλῳ additur.) ἑτέρου δυνάμεις. A. 2. ἑκατέρας, loco ἑκατέρου. N.

οὐ γὰρ εἶναι τὰς οὐσίας κ. τ. λ.] οὐ γὰρ εἶναι δυνατὸν, τὰς οὐσίας τὰς ἑνωθείσας μένειν κραθείσας· ἀλλὰ τὰς τοῦ σώματος τοῦ σώματος· τὰς δὲ τῆς ψυχῆς, ταῖς θείαις συγκεκρᾶσθαι δυνάμεις. πάντως δέ που δυνάμεις κατὰ ἀριστοτέλην κ. τ. λ. D. 1. Ab ἑνωθείσας ita habet A. 2.: ἑνωθείσας (μένειν deletum et additum ἢ) κρανθείσας (in marg. κραθείσας.) ἀλλὰ τὰς (δυνάμεις inſertum.) τοῦ σώματος (in marg. ταῖς δυνάμεσι ταῖς θείαις συγκεκρᾶσθαι δυνάμεις δὲ τοῦ σώματος πάντως δήπου τοῦ ὀργανικοῦ κατὰ ἀριστοτέλην) et in textu deleta: τοῦ σώματος ταῖς δὲ τὴν ψυχὴν ταῖς θείαις συγκεκρᾶσθαι δυνάμεις δὲ τούτων εἰσὶ πάντως δέ που τὰς ἑαυτοῦ κατὰ ἀριστοτέλην. Ergo alius in textu ſcripſit, alius partim delevit, partim alia adſcripſit margini. Hanc corruptionem ex eo credo natam, quod in principio, loco οὐ γὰρ τὰς οὐσίας ἡνῶσθαι ἢ κεκρᾶσθαι, ſcriptum eſt, οὐ γὰρ εἶναι — κραθείσας. Nam iſto modo ſecundum membrum primo fuiſſet ſimile. Loco παντὸς vero ex Codd. recepi πάντως, etſi iſtud quoque ferri poterat utroque τοῦ deleto. Cono ita: Non enim impoſſibile ajunt, ſubſtantias illas unitas manere et eſſe concretas et ſolum animae et corporis virtutes divinis eſſe conjunctas viribus. Senſus autem omnino ſecundum Ariſtotelem virtutes eſſe dicunt. Valla omittit ſolum πάντως δήπου. In reliquis conſentit cum vulgata lectione. ἢ κραθείσας abeſt. M. 1. Ejus loco habet: ἢ συγκραθείσας. A. 3. et mox: πάντως δέ που.

ταύταις οὖν] His ergo ſenſibus. Vall. Mox, συγκίρνασθαι. M. 1.

συγκιρνάμεναι, τὴν ἕνωσιν ἀπειργάσαντο κατ᾽ αὐτούς. οὐδεὶς δὲ ἂν αὐτοῖς, οἶμαι, συγχωρήσειε, τὰς αἰσθήσεις σωματικὰς δυνάμεις ἀποφαινομένοις. διώρισται γὰρ ἐν τοῖς ἔμπροσθεν σαφῶς, τίνα μὲν ἴδια σώματος, τίνα δὲ ψυχῆς, τίνα 62
δὲ τοῦ συναμφοτέρου· καὶ ἐν τοῖς ἰδίοις τοῦ συναμφοτέρου τὰς δι᾽ ὀργάνων αἰσθήσεις ἐτίθεμεν· αὐτὰ δὲ τὰ ὄργανα, τοῦ σώματος ἐλέγομεν εἶναι. βέλτιον οὖν, ὡς προείρηται, κατὰ τὴν οἰκείαν φύσιν τῶν ἀσωμάτων ἀσυγχύτως τὴν ἕνωσιν γίνεσθαι τῶν οὐσιῶν, μηδὲν παραβλαπτομένης τῆς θειοτέρας ἐκ τῆς ὑποδεεστέρας· ἀλλὰ ταύτης μόνον ὠφελουμένης ἐκ τῆς θειοτέρας· ἐπείπερ ἡ καθαρῶς ἀσώματος φύσις, χωρεῖ μὲν ἀκωλύτως διὰ πάντων, δι᾽ αὐτῆς δὲ οὐδέν· ὥστε τῷ

VAR. LECT. ET ANIMADV.

οὐδεὶς δὲ ἂν αὐτοῖς] δ᾽, loco δέ. D. 1. A. 3. Mox, ἀποφαινομένους. M. 1.

τίνα μὲν ἴδια σώματος] τοῦ, ante σώματος, addit D. 1.

τίνα δὲ ψυχῆς] τῆς, ante ψυχῆς, addit D. 1.

καὶ ἐν τοῖς ἰδίοις] Cono ita: Certe ſenſationes eſſe ſenſus poſuimus; ipſa autem ſenſoria corporis exiſtere diximus. Melius ergo eſt, ſecundum propriam et inconfuſaneam incorporeorum naturam, ſubſtantialiter fieri unitionem, diviniori in nullo laeſa ab inferiori, imo hac ſolum proficiente ex illa. Natura enim, quae pura eſt et incorporea. Mox idem, ἡνῶσθαι reddidit, *unitam eſſe liquet.*

τὰς δι᾽ ὀργάνων κ. τ. λ.] τὰς αἰσθήσεις, τὰ ὄργανα ἐλέγομεν τῶν ἀσωμάτων, ἀσυγχύτως τὴν ἕνωσιν τῶν οὐσιῶν γίνεσθαι, μηδὲν παραβλαπτομένης. Sic, reliquis omiſſis. N. Proximum ἐτίθεμεν Vall. reddidit, *digerebamus.* Mox idem omittit, ὡς προείρηται. M. 1. ita habet: τὰς αἰσθήσεις ὄργανα ἐτίθεμεν· αὐτὰς δὲ τοῦ σώματος δι᾽ ὀργάνων αἰσθήσεις τὰ ὄργανα ἐλέγομεν εἶναι. A. 3. ταῦτα ὄργανα, loco, τὰ ὄργανα.

ἐλέγομεν εἶναι] λέγομεν εἶναι. D. 1.

τὴν ἕνωσιν γίνεσθαι] τὴν ἕνωσιν γίγνεσθαι. D. 1. A. 1. γίγνεσθαι τῶν οὐσιῶν τὴν ἕνωσιν. A. 3.

ἀλλὰ ταύτης μόνον ὠφελουμένης] μᾶλλον, loco μόνον. D. 1. Mox, ἐπειδήπερ. A. 3.

ἡ καθαρῶς ἀσώματος] ex correct., antea καθαρός. D. 1. Mox: ὥστε τὸ μὲν χωρεῖν — τὸ δὲ μηδὲν δι᾽ αὐτῆς. N. M. 1.

μὲν χωρεῖν αὐτὴν διὰ πάντων, ἡνῶσθαι· τῷ δὲ μηδὲν δι' αὐτῆς, μένειν ἄμικτον καὶ ἀσύγχυτον. οὐκ εὐδοκίᾳ τοίνυν ὁ τρόπος τῆς ἑνώσεως, ὥς τισι τῶν ἐνδόξων ἀνδρῶν δοκεῖ, ἀλλ' ἡ φύσις αἰτία. τὸ μὲν γὰρ ἀναλαβεῖν σῶμα, κατ' εὐδοκίαν εἴποι τις ἂν εὐλόγως γεγενῆσθαι· τὸ δὲ ἑνούμενον μὴ συγχυθῆναι, κατὰ τὴν οἰκείαν τοῦ Θεοῦ φύσιν, οὐ κατ' εὐδοκίαν γίνεται. τοὺς γὰρ βαθμοὺς τῶν ψυχῶν καὶ τὰς ἀναβάσεις καὶ καταβάσεις, ἃς Ὠριγένης εἰσάγει, μηδὲν προσηκούσας ταῖς θείαις γραφαῖς, μηδὲ συνᾳδούσας τοῖς τῶν χριστιανῶν δόγμασι, παραλειπτέον.

VAR. LECT. ET ANIMADV.

ἡνῶσθαι· τῷ δὲ] ἡνῶσθαι πᾶσι· τῷ δέ. D. 1. Mox, ὁ τύπος τῆς ἑνώσεως. N.

εὐδοκία] nimirum θεία, *dei voluntas et arbitrium.* Sed Cono ita: Non probandus igitur eſt hic prior unionis modus. Et ἐνδόξων reddidit, *gloriabundis.* Valla: Hujusmodi igitur unionis non benefaciendi voluntas, velut. Ellebodius reddiderat, *lubito.* Id Oxonienſis editor ex ſanctiſſimo et latiniſſimo Hieronymo correxit, *beneplacito.*

τὸ μὲν γὰρ ἀναλαβὸν 'σῶμα] τὸ μὲν γὰρ ἀναλαβεῖν σῶμα. M. 1. A. 3. D. 1. Ox. N. Con. τὸ μὲν γὰρ λαβεῖν σῶμα. A. 1. 2. *In corpore namque accipiendo.* Vall. In reliquis ad finem capitis convenit cum lectione vulgata.

τὸ δὲ ἑνούμενον κ. τ. λ.] τὸ δὲ ἑνούμενον (μὴ καὶ τὰς καταβάσεις) εἶναι. βέλτιον οὖν, ὡς προείρηται, κατὰ τὴν οἰκείαν φύσιν. τοὺς γὰρ βαθμούς. N. μὴ, ante συγχυθῆναι omittit M. 1.

κατὰ τὴν οἰκείαν] in propriam Dei naturam, ſed pro beneplacito aſſumentis, ſuam naturalem operationem exercere. Gradus vero animarum. Et mox: quas Origeniſtae inducunt. Con.

καὶ καταβάσεις] abſunt. A. 1. καὶ τὰς καταβάσεις. D. 1. Omittit, ſed paullo ante habet. N.

μηδὲν προσηκούσας κ. τ. λ.] μηδὲν συνᾳδούσας ταῖς θείαις γραφαῖς, μηδὲ προσηκούσας τοῖς τῶν χριστ. N.

μηδὲ συνᾳδούσας] μὴ συνᾳδούσας. A. 2. Mox, τοῖς χριστιανῶν. D. 1. A. 2.

ΚΕΦ. Δ.

ΠΕΡΙ ΣΩΜΑΤΟΣ.

Πᾶν σῶμα τῶν τεσσάρων στοιχείων ἐστὶ σύγκριμα, καὶ
ἐκ τούτων γέγονε· προσεχῶς δὲ τὰ τῶν ἐναίμων ζώων, ἐκ
τῶν τεσσάρων χυμῶν, αἵματος, φλέγματος, ξανθῆς τε
χολῆς, καὶ μελαίνης· τὰ δὲ τῶν ἀναίμων, ἔκ τε τῶν ἄλ-
λων χυμῶν, καὶ ἐκ τοῦ ἀναλογοῦντος ἐν αὐτοῖς τῷ αἵματι. 63
προσεχῶς δὲ λέγεται, ὅταν ἀμέσως ἐξ αὐτῶν ἐκείνων τί
γίνηται. ὡς εἶναι τῶν μὲν τεσσάρων στοιχείων σύγκριμα,
τοὺς τέσσαρας χυμούς· τῶν δὲ χυμῶν, τὰ ὁμοιομερῆ, ἅ
ἐστι μόρια τοῦ σώματος. εἰκάζουσι δὲ, τῇ μὲν γῇ, τὴν
μέλαιναν χολήν· τῷ δὲ ὕδατι, τὸ φλέγμα· τῷ δὲ ἀέρι,

VAR. LECT. ET ANIMADV.

Cap. 4. Index idem. D. 1. A. 1. 3. Etiam ſic, ſed a man. rec. A. 2. Sic, ſed λόγος τρίτος. M. 1. De corpore cap. 4. Vall. Apud Con. incipit libri 3. De elementis cap. 1. De quatuor humoribus, ex quibus animalia et conſtituuntur et nutriuntur, ac duplici partium genere in animalium membris.

αὐτοῖς τῷ αἵματι] αὐτοῖς τοῦ αἵματος. M. 1.

στοιχείων ἐστὶ σύγκριμα] Sic, ſed ex correct. σύγκραμα. D. 1. ἐστὶ στοιχ. σύγκ. A. 3.

προσεχῶς μὲν τὰ] προσεχῶς δὲ τά. D. 1. A. 1. 2. M. 1.

ξανθῆς τε χολῆς] τε abeſt. A. 2. ξανθῆς τε καὶ μελαίνης χολῆς. A. 3.

τὰ δὲ τῶν ἀναίμων] ἐναίμων, loco ἀναίμων. D. 1. A. 1.

ἐξ αὐτῶν ἐκείνων τί γένηται] loco γένηται eſt γίνεται et ex correct. rec. γίνηται. D. 1. γίνηται. A. 1. ἐγείρεται. A. 2. γίνεται, ſuprafcripto η. A. 3. Cono ita: προσεχῶς μὲν λέγεται, τουτέστιν, ἀμέσως ἐξ αὐτῶν. Ὅθεν γίνεται.

χυμῶν τὰ ὁμοιομερῆ] poſt χυμῶν addit: τῶν τεσσάρων στοιχείων. D. 1. Conſimilia membra, quae ſunt corporis particulae. Con. Poſt σώματος in verſione addidit Ellebodius, *onerata ſint*. Pro eo editor Oxonienſis habet, *conflata ſint*. In Graeco nihil eſt ejusmodi.

τῷ δὲ ὕδατι] τῷ ὕδατι δέ. A. 2. Paullo aliter habet Jo. p. 179. C.

τῷ δὲ ἀέρι τὸ αἷμα] πνεῦμα, loco αἷμα. A. 2. Mox, ἢ στερεόν τι ἐστι. Con.

τὸ αἷμα· τῷ δὲ πυρὶ, τὴν ξανθὴν χολήν. πᾶν δὲ σύγκριμα στοιχείων ἢ στερεόν ἐστιν, ἢ ὑγρὸν, ἢ πνεῦμα. Ἀριστοτέλης δὲ προςεχῶς ἐξ αἵματος μόνου βούλεται γινεσθαι τὰ σώματα τῶν ζώων. ἐκ τούτου γὰρ καὶ τρέφεσθαι προςεχῶς καὶ αὐξάνεσθαι πάντα τὰ τοῦ ζώου μόρια· καὶ τὸ σπέρμα δὲ τὴν γένεσιν ἐξ αἵματος ἔχειν. ἀλλ᾽ ἐπείπερ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ οὐκ ἐδόκει καλῶς ἔχειν τά τε σκληρότατα ὀστέα καὶ τὴν ἀπαλωτάτην σάρκα τε καὶ πιμελὴν γίνεσθαι· ἤρεσεν Ἱπποκράτει πρώτῳ, τὰ σώματα τῶν ζώων ἐκ τῶν τεσσάρων χυμῶν συμπήγνυσθαι προςεχῶς· ἵν᾽ ἐκ μὲν τῶν γεωδεστέρων καὶ παχυμερεστέρων τὰ στερεώτερα γίνωνται, ἐκ δὲ τῶν μαλακωτέρων τὰ μαλακά. εὑρίσκονται

VAR. LECT. ET ANIMADV.

ἢ ὑγρὸν, ἢ πνεῦμα] litterae πνευ. ex correct. rec. D. 1. Aut *ſpiritalis* eſt. Vall.

τρέφεσθαι προςεχῶς καὶ αὐξάνεσθαι] τρέφεσθαι καὶ αὔξεσθαι. D. 1. τρέφεται et mox αὔξεται. Deinde tamen ἔχειν habet A. 1. Αὔξεσθαι, loco αὐξάνεσθαι. A. 3. Paullo ante μόνου omittit Con.

ἐξ αἵματος ἔχειν. ἀλλ᾽ ἐπείπερ] ἐξ αἵματος ἔχει μὲν, ἀλλ᾽ ἐπειδήπερ. A. 2. ἀλλ᾽ ἐπειδήπερ habet etiam A. 1. ἐξ αἵματος τὴν γένεσιν ἔχειν. A. 3. Idem mox, οὐδ᾽ ἐδόκει.

ἀπαλωτάτην σάρκα καὶ] ἀπαλοτάτην σάρκα τε καί. D. 1. ἀπαλωτάτην σάρκα τε καί. A. 1. 2. 3. Mox γίγνεσθαι. A. 1.

ἱπποκράτῃ] ἱπποκράτει. A. 1. 2. 3. Similis varietas reperitur in vocabulo Κυαξάρης in Cyropaedia Xenoph. Vide Zeunium ad I, 6, 9. Mox, πρῶτον. A. 2. Male. Cono: Hippocratem praeferimus. Valla: *Jure* placuit Hippocrati, ex humoribus etc.

τεσσάρων χυμῶν κ. τ. λ.] τεσσάρων στοιχείων ἢ μᾶλλον χυμῶν πήγνυσθαι. M. 1.

συμπήγνυσθαι κ. τ. λ.] primo coagulari, ex terreſtribus vero et παχυμέροις (ſic) ſolidiora proxime generari. Con. Συμπήγνυσθαι reddidit, *excitari atque conformari.* Vall.

ἵν᾽ ἐκ μὲν τῶν] ἵνα καὶ, loco ἵνα. A. 3. ἵνα, loco ἵν᾽. D. 1. Hic in marg. a rec. notatur inepta etymologia vocis αἵματος, quae ad initium capitis referenda eſt: αἷμα, παρὰ τὸ ἄναμμα εἶναι ἢ παρὰ τὸ αἴθω, αἴσω, αἷμα. (Haec ſup-

δὲ πολλάκις οἱ τέσσαρες ἐν τῷ αἵματι χυμοὶ, ὡς ἔστιν ἰδεῖν
ἐν ταῖς φλεβοτομίαις, ποτὲ μὲν τοῦ ὀῤῥώδους φλέγματος
πλεονάζοντος ἐν αὐτῷ, ποτὲ δὲ τῆς μελαίνης ἢ ξανθῆς χολῆς·
ὅθεν δοκοῦσί πως (ἐν τούτῳ) ἀλλήλοις συμφωνεῖν οἱ ἄνδρες.
ἔστι δὲ τῶν ἐν τοῖς ζώοις μερῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ
δὲ ἀνομοιομερῆ· (οἷον) ὁμοιομερῆ μὲν, ἐγκέφαλος, μήνιγ-
γες, νεῦρον, μυελὸς, ὀστέον, ὀδοὺς, χόνδρος, ἀδένες, σύν-
δεσμοι, ὑμένες, ἶνες, τρίχες, ὄνυχες, σάρκες, φλέβες, 64
ἀρτηρίαι, πόροι, πιμελὴ, δέρμα, καὶ τὰ οἱονεὶ στοιχεῖα

VAR. LECT. ET ANIMADV.

ſupplenda ex Etymolog. magno in αἷμα.) ἢ ἅμμα καὶ δεσμὸς καὶ πρᾶγμα δυναστεῦον. Paullo poſt γίνονται, loco γίνωνται. A. 2.

ἐν τῷ αἵματι χυμοὶ] σώματι, loco αἵματι. A. 1. Sic et Valla, apud quem tamen deeſt οἱ τέσσαρες.

ὀῤῥώδους] ὀρώδους. D. 1. A. 1. 2. Sic in ſimilibus vocabulis in aliis etiam Codicibus inveni. Valla: aliquando *exhorreſcente et tumente* corpore ex redundante phlegmate. Mire ergo corruptus videtur fuiſſe iſtius Codex in vocabulo ὀῤῥώδους. Duo vocabula videtur ante oculos habuiſſe ὀῤῥωδεῖν et οἰδεῖν. M. 1. exhibet ῥοώδους. Ῥοώδης, *fluxus*. vid. Arrian. Indica pag. 337. Euſeb. Praepar. Evang. p. 301. C.

δοκοῦσί πως ἀλλήλοις συμφωνεῖν οἱ ἄνδρες] δοκοῦσι πῶς ἐν τούτῳ ἀλλήλοις συμφωνεῖν οἱ ἰατροί. D. 1. δοκοῦσι πως ἐν τούτῳ ἀλλήλοις συμφωνεῖν ἄνδρες ἰατροί. A. 2. δοκοῦσιν, omiſſo πῶς. A. 3. οἱ ἄνδρες h. l. ſunt Ariſtoteles et Hippocrates. Valla reddidit *homines*. Cono ita: Quare jam nominati viri concordare quodammodo ſibi invicem videntur. Ἐν τούτῳ nec Cono, nec Valla habet.

οἷον ὁμοιομερῆ] οἷον abeſt. D. 1. A. 2. 3. Ab τὰ δὲ ἀνομοιομερῆ inepte reddidit Con. Similium quidem partium, ut cerebrum. Vall. Ergo οἷον per *ut* expreſſit.

μήνυγγες] μήνιγγες. D. 1. A. 1. μήνυγγες. A. 2. μένιγγες. A. 3. Menignes. Vall.

μυελὸς, ὀστέον] μυελὸς καὶ ὀστέον. A. 2. μυελὸς καὶ ὀστέων. Sic. D. 1. Mox ἀδένες reddidit *lumbi*. Vall.

ὄνυχες] Hoc poſt τρίχες, non poſt ἀδένες, habet D. 1. A. 1. 2. 3. Vall. Mox loco πόροι Cono habet *tophus*, id eſt, πῶρος.

προσεχῆ τούτων, αἷμα, καθὸ αἷμα καθαρὸν, φλέγμα, χολὴ μέλαινα καὶ ξανθή. ὁ γὰρ τένων σύνθετός ἐστιν ἔκ τε συνδέσμων καὶ νευρωδῶν ἰνῶν· ἀνομοιομερῆ δὲ, κεφαλὴ, θώραξ, χεῖρες, πόδες, καὶ τὰ ἄλλα μέλη τοῦ ἀνθρώπου. οὐ γὰρ εἰς κεφαλὴν διαιρεῖται ἡ κεφαλὴ, ὥσπερ τὸ νεῦρον εἰς νεῦρον, καὶ ἡ φλὲψ εἰς φλέβα, καὶ ἡ σὰρξ εἰς σάρκα· πᾶν δὲ ἀνομοιομερὲς ἐξ ὁμοιομερῶν συνέστηκεν, ὡς ἡ κεφαλὴ, ἐκ νεύρων καὶ σαρκῶν καὶ ὀστέων καὶ τῶν τοιούτων· καλοῦσι δὲ ταῦτα καὶ ὀργανικά. ὅρος δὲ ὁμοιομερῶν οὗτος· ὧν τὰ μόρια τῷ,τε ὅλῳ καὶ ἀλλήλοις ἐστὶν ὅμοια· τὸ δὲ ὅμοιον νῦν ἀντὶ τοῦ ταὐτὸν δεῖ λαμβάνειν. οὐ πᾶν δὲ ζῶον πάντα τὰ μόρια τοῦ σώματος κέκτηται· ἀλλ' ἔστιν ἔνια κολοβά· τὰ μὲν γάρ ἐστιν ἄποδα, ὡς ἰχθύες καὶ ὄφεις· τὰ δὲ ἀκέφαλα, ὡς καρκίνοι καὶ κάραβοι καὶ τῶν νηκτῶν ἔνια· ἐν γὰρ τῷ στήθει τὰ αἰσθητήρια ἔχουσι, διὰ τὸ μὴ ἔχειν κεφαλήν· τὰ δὲ πνεύμονος ἐστέρηται, ὅσα μὴ ἀναπνεῖ τὸν ἀέρα· τὰ δὲ κύστιν οὐκ ἔχει, ὡς ὄρνιθες καὶ πάντα τὰ μὴ

VAR. LECT. ET ANIMADV.

τούτων, αἷμα, καθ' αἷμα καθαρὸν, φλέγμα] καθὸ, loco καθ'. D. 1. A. 1. 2. 3. M. 1. Τούτων, φλέγμα, αἷμα καθαρὸν ac deinceps continuo χολή. Ox. Praeterea D 1. a man. rec. in marg. αἷμα γὰρ ἀνθρώποις περὶ καρδίαν ἐστὶ νόημα, φησὶν ἐμπεδοκλῆς. Valla: elementa: *ſicut* pariter ſanguis purus, phlegma. Ergo loco αἷμα καθὸ, aliud quid videtur legiſſe, veluti οἷον, ὁμοίως.

χολὴ μέλαινα καὶ ξανθὴ] χολὴ ἢ μέλαινα ἢ ξανθή. M. 1.

ἔκ τε συνδέσμων] ἔκ τε συνδέσμου. A. 2. Ox. ἔκ τε τοῦ συνδέσμου καὶ τῶν νευρ. A. 3.

ἴνων] ἰνῶν. D. 1. A. 1. 2. *Inibus.* Vall. *Umbis.* Con.

καὶ τὰ ἄλλα μέλη] καὶ τἄλλα μέρη. Sed τἄλλα ex correct., antea τᾶλλα. D. 1.

ἐξ ὁμοιομερῶν συνέστηκεν] ἐξ ἀνομοιομερῶν συνέστηκεν. D. 1. Valla graece ita: ἀνομοιόμερον ἐκ τῶν ὁμοιομερῶν.

δεῖ λαμβάνειν] δεῖ λαβεῖν. A. 3.

ὡς ἰχθύες] ὡς ἰχθῦς. A. 2.

κάραβοι — στήθει] κάραβοι (γεννητῶν. Sic. Sed linea transverſa deletum.) ἔνια γὰρ ἐν γὰρ τῷ στήθει. Sic. D. 1. Mox idem κύστιν, et ex correct. κῦστιν. Paullo ante, poſt ἐστέρηται, addit: *ceu ante retulimus.* Con.

οὐροῦντα· τὰ δὲ ὀστρακόδερμα τῶν πλείστων ἀμοιρεῖ μελῶν·
ἐν ὀλίγοις γὰρ αὐτοῖς τὸ εἶναι ζώοις ὑπάρχει· δοκεῖ δέ τινα,
καί τοι ἔχοντα, μὴ ἔχειν· ὡς ἔλαφοι δοκοῦσι μὴ ἔχειν τὴν
ξανθὴν χολὴν, ἐπειδήπερ ἐν τοῖς ἐντέροις ἔχουσιν αὐτὴν
διεσπαρμένην καὶ ἀφανῆ· ὁ δὲ ἄνθρωπος, καὶ πάντα, καὶ
τέλεια, καὶ, ὡς οὐκ ἂν ἄλλως ἐνδέχοιτο καλῶς, ἔχει πάν- 65
τα. οὕτω δὲ καὶ κατὰ τὴν θέσιν τῶν μορίων, πολλὴ ἡ δια-
φορὰ τοῖς ζώοις. τὰ μὲν γὰρ ἔχει τοὺς μαστοὺς ἐν τῷ
στήθει· τὰ δὲ, ἐν τῇ κοιλίᾳ· τὰ δὲ, ὑπὸ τοὺς μηρούς·
καὶ τὰ μὲν δύο, τὰ δὲ τέσσαρας, τὰ δὲ πλείους. σχεδὸν
γὰρ συνεμέτρησεν ἡ φύσις τῷ τῶν γεννωμένων ἀριθμῷ τὸ
πλῆθος τῶν μαστῶν. εἰ δέ τις ἀκριβῶς ἐκλέγειν ταῦτα
βούλοιτο, τὴν περὶ ζώων ἱστορίαν Ἀριστοτέλους ἀναγινωσκέτω.

VAR. LECT. ET ANIMADV.

τὸ εἶναι ζώοις] τὸ εἶναι ζῶον. M. 1.

καί τοι ἔχοντα] καί τι ἔχοντα. D. 1. Ab καίτοι ad δοκοῦσι abſunt. M. 1.

πάντα, καὶ τέλεια] πάντα τὰ τέλεια. A. 3.

ἄλλως ἐνδέχοιτο — πάντα] ἄλλως καλῶς ἐνεδέχετο ἔχειν πάντα. D. 1. τὰ, ante πάντα, addit A. 3.

καὶ κατὰ τὴν θέσιν] καὶ abeſt. Ox. Vall. Paullo ante loco οὕτω, conjici poſſit ἔτι.

πολλὴ ἡ διαφορὰ] πολλή ἐστιν ἡ διαφορά. A. 2. Sic, omiſſo ἡ. D. 1. ἡ ſolum abeſt. A. 3.

τὰ μὲν γὰρ ἔχει] τινὰ μὲν ἔχει. D. 1.

ὑπὸ τοὺς μηροὺς] *inter crura*. Vall.

τὰ μὲν β, τὰ δὲ δ.] τὰ μὲν δύο, τὰ δὲ τέσσαρας. A. 1. 2. Sic, ſed ſigma in τέσσαρας ex corr. rec. D. 1.

τῷ τῶν γεννωμένων] τῷ τῶν γενομένων. A. 3. Sic ex corr., antea γενομένων. D. 1. Mox, deeſt τὸ, ante πλῆθος. M. 1. et deinde μαστῶν, ſed ſupraſcripto θ. A. 1.

εἰ δέ τις] εἰ δή τις. A. 3.

ταῦτα βούλοιτο] ταῦτα βούλεται. D. 1. Paullo ante diſplicet ἐκλέγειν. Sed nec συλλέγειν, nec καταλέγειν ſatis mihi probatur. Nexus videtur poſtulare γινώσκειν, μανθάνειν, ſeu, γνῶναι, μαθεῖν. Con. habet, *noſſe*. Vall. *dignoſcere*. Pagina 162. in ſententia fere ſimili eſt ἀναλέγεσθαι.

οὐ γὰρ τῆς προκειμένης γραφῆς ἀκριβοῦν ἐστι ταῦτα· ἀλλ' οἷον ὑπογραφάς τινας καὶ τύπους ἐκτίθεσθαι. μετέλθωμεν οὖν ἐπὶ τὸν περὶ τῶν στοιχείων λόγον, ἐξ ἀκολουθίας ἐπιζητούμενον.

ΚΕΦ. Ε.

ΠΕΡΙ ΣΤΟΙΧΕΙΩΝ.

Τὸ στοιχεῖον τὸ κοσμικὸν, ἔστι μέρος ἐλάχιστον τοῦ συγκρίματος τῶν σωμάτων· εἰσὶ δὲ στοιχεῖα τέσσαρα, γῆ, ὕδωρ, ἀὴρ, πῦρ, συντεταγμένα κατὰ τὴν εἰρημένην τάξιν, ἀπὸ τῶν κάτωθεν ἐπὶ τὰ ἄνω, σώματα καὶ αὐτὰ ὄντα πρῶτά τε καὶ ἁπλᾶ, ὡς πρὸς τὰ ἄλλα σώματα. καὶ γὰρ πᾶν

VAR. LECT. ET ANIMADV.

προκειμένης γραφῆς κ. τ. λ.] προκειμένης πνευματικῆς γραφῆς ἀκριβοῦν τὰ τοιαῦτά ἐστιν, ἀλλ'. D. 1. Ἀκριβοῦν omittit Con. Valla ita: non enim *propoſito noſtro* haec rimanda conveniunt, ſed ut in *ſubſcriptionum figuram* aliquos annotemus locos. Ὑπογραφὴ non eſt *ſubſcriptio*, ſed *adumbratio rei*. Synonymum eſt τύπος, *effigies*, *informatio rei*. Plato p. 432. opponit ὑπογραφὴν et τελεωτάτην ἀπεργασίαν. Nec aliena eſt ab hoc loco definitio Stoicorum apud Diog. Laërt. p. 259. ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα.

μετέλθωμεν] Con. incipit libri 3. cap. 2. De numero quatuor elementorum et eorum qualitatibus, ſecundum quas ad ſe invicem habitudinem et unionem obtinent.

ἐπὶ τὸν τῶν στοιχείων] περὶ, poſt τὸν, addit D. 1. Non habet Con. Vall.

Cap. 5. Index idem eſt. D. 1. A. 1. 3. Etiam, a man. rec. A. 2. Λόγος δ. loco κεφ. ε. M. 1. De elementis. cap. 5. Vall.

εἰσὶ δὲ στοιχεῖα δ.] εἰσὶ δὲ στοιχεῖα τέσσαρα. D. 1. A. 2. Sic, ſed τὰ, poſt δὲ, addit A. 1.

ἄνω σώματα κ. τ. λ.] ἄνω, σώματα καὶ αὐτὰ ὄντα πρῶτα. D. 1. ἄνω σώματα, καὶ αὐτὰ ὄντα πρῶτα. A. 1. 2. 3. Superna *corpora: quae* et ipſa utique prima ac ſimplicia ſunt, utpote quae caeteris *praeſunt* corporibus. Vall. Mox, *ut alia corpora*, omiſſo πρός. Con.

στοιχεῖον ὁμογενές ἐστι τοῖς, ὧν ἐστι στοιχεῖον. ἡ μὲν γὰρ
ἀρχὴ οὐχ ὁμογενὴς τοῖς ἐξ αὐτῆς· τὸ δὲ στοιχεῖον πάντως
ὁμογενές. ἀλλ', ὅτι μὲν γῆ καὶ ὕδωρ, ἀήρ τε καὶ πῦρ ἐστι
τὰ στοιχεῖα, δῆλον. καὶ γὰρ ἐν τούτοις ἄκραι αἱ ποιότητες
δυνάμει καὶ ἐνεργείᾳ φαίνονται· οὐ μὴν τῶν αἰσθητῶν τι
τούτων στοιχείων ἄκρατον καὶ ἀνεπίμικτόν ἐστιν ἑτέρου
στοιχείου· νενόθευται γὰρ ἠρέμα πως ἅπαντα ταῦτα, καὶ
μετείληφεν ἀλλήλων μᾶλλον καὶ ἧττον· ἀλλὰ καὶ ἐν τῇ 66
μίξει κατάδηλός ἐστιν ἡ φύσις αὐτῶν. ἕκαστον δὲ τῶν στοι-
χείων κατὰ συζυγίαν δύο ποιότητας ἔχει τὰς εἰδοποιούσας
αὐτό. ἔστι γὰρ ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρά· τὸ δὲ ὕδωρ,
ψυχρὸν καὶ ὑγρόν· ὁ δὲ ἀὴρ, ὑγρὸς καὶ θερμὸς κατὰ τὴν
ἑαυτοῦ φύσιν· τὸ δὲ πῦρ, θερμὸν καὶ ξηρόν. οὐ μὴν αἱ
ποιότητες καθ' ἑαυτὰς εἶναι δύνανται στοιχεῖα. οὐ γὰρ ἐκ
ποιοτήτων ἀσωμάτων οἷόν τε συστῆναι σώματα, ἀλλ' οὐδὲ
τἆλλα σώματα, μὴ ἄκραν ἔχοντα καὶ κατ' ἐνέργειαν τὴν

VAR. LECT. ET ANIMADV.

ὧν ἐστι στοιχεῖον] ὧν ἐστὶ στοιχείων. A. 1. Mox, ἡ δὲ ἀρχή. Con. et mox, τοῖς οὖσι, loco τοῖς ἐξ αὐτῆς. Idem. οὐχ, ante ὁμογενὴς, abeſt. M. 1. Ceterum, quomodo ἀρχὴ et στοιχεῖον differant, docet Plutarch. de placit. philoſoph. I. 2.

τὸ δὲ στοιχεῖον] Con. addit: cum compoſitis ex ipſo.

ἐστι τὰ στοιχεῖα] ſolum στοιχεῖον habet A. 2.

δυνάμει καὶ κ. τ. λ.] δυνάμεις καὶ ἐνεργεῖα. Sic, et ſupra a recent. vulgatum. A. 2.

αἰσθητῶν τι τούτων] τι abeſt. D. 1. M. 1.

ἠρέμα] ἠρέμα. D. 1. A. 3. Mox, πῶς πάντα ταῦτα. D. 1. πῶς ταῦτα πάντα. A. 2.

ἐν τῇ μίξει] γῇ, ante μίξει, addit M. 1.

καὶ μετείληφε] et ſe invicem transmutant. Vall. Videtur ergo μεταβάλλειν cum μεταλαμβάνειν confuſum fuiſſe.

ἀλλὰ καὶ ἐν τῇ μίξει] ἀλλὰ abeſt. A. 2. καὶ omittit Vall.

κατὰ συζυγίαν δύο ποιότητας] δύο abeſt. D. 1.

γῆ ξηρὰ] v. Jo. p. 179. C.

συστῆναι σώματα] συστῆναι σῶμα. A. 2. 3. Con. συνεστάναι σῶμα. M. 1. Mox, ἀλλ' οὐδὲ τὰ ἄλλα. A. 1. 2. 3. Mox Con. habet ἔχειν, loco ἔχοντα, omiſſis εἶναι στοιχεῖα. M. 1. ἄκρα exhibet, et τὴν, ante ποιότητα, omittit.

ποιότητα, δυνατὸν εἶναι στοιχεῖα. ἦν γὰρ ἂν ἄπειρα τὰ στοιχεῖα, πάντων τῶν ὄντων τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον ποιότητα κεκτημένων, καὶ οὐ δυναμένων διακριθῆναι, ποῖα ποίων ἐστὶ στοιχεῖα. ἀνάγκη τοίνυν εἶναι τὸ στοιχεῖον καὶ σῶμα, καὶ ἁπλοῦν σῶμα, καὶ κατ' ἐνέργειαν ἔχον ἄκρας τὰς ποιότητας, λέγω δὲ, θερμότητα, ψυχρότητα, ὑγρότητα καὶ ξηρότητα. αὗται γὰρ μόναι τῶν ποιοτήτων ὅλην δι' ὅλου μεταβάλλουσι τὴν οὐσίαν· τῶν δὲ ἄλλων ποιοτήτων οὐδὲ μία τοῦτο δρᾷ. οὔτε γὰρ τὸ λευκὸν, πλησιάζον σώματι λευκαίνει αὐτὸ διόλου, ὡς τὸ θερμὸν θερμαίνει καὶ τὸ ψυχρὸν ψύχει, οὔτε δὲ τῶν ἄλλων οὐδέν. ἐναντία δὲ ἀλλήλοις ἐστὶ τὰ στοιχεῖα, τὰ κατὰ τὰς δύο ποιότητας ἐναντία, ὡς τὸ ὕδωρ τῷ πυρὶ, ψυχρὸν ὂν καὶ ὑγρὸν, θερμῷ ὄντι καὶ ξηρῷ· καὶ ἡ γῆ τῷ ἀέρι, ψυχρὰ οὖσα καὶ ξηρὰ, τῷ θερμῷ καὶ ὑγρῷ. ἐπειδὴ δὲ τὰ ἐναντία συνάπτεσθαι ἀλλήλοις οὐκ ἠδύνατο, μὴ μέσου

VAR. LECT. ET ANIMADV.

ἦν γὰρ ἂν ἄπειρα ad ποίων στοιχεῖά ἐστι] Haec a man. rec. leguntur in marg. cum aliqua varietate, quam hic notavi. D. 1. Sic statim hic deest ἄν. D. 1. Ab ἦν ad proximum στοιχεῖα omittit M. 1.

πάντων τῶν ὄντων κ. τ. λ.] Con. ita: Elementa vero secundum magis et minus qualitatem possidentia, non facile dijudicari queunt, quorumnam sint elementa.

ποίων στοιχεῖά ἐστιν] ποίων ἐστὶ στοιχεῖα. D. 1. A. 1. 2. 3. Sed hic habet etiam διακρῖναι, loco διακριθῆναι.

τοίνυν τὸ στοιχεῖον εἶναι] εἶναι, ante τὸ habet D. 1. A. 1. 2. Mox ἔχοι, loco ἔχον. M. 1.

λέγω δὲ θερμότητα] δὴ, loco δέ. A. 2. Mox καὶ, ante ψυχρότητα omittunt D. 1. A. 1. 2. 3. Etiam ante ξηρότητα. D. 1. A. 2. 3. Mox, ὅλον δι' ὅλου. M. 1.

πλησιάζον σώματι] πλησ. τῷ σώματι. A. 1. πλησιάζον τὸ λευκὸν σώματι. A. 3.

οὔτε τῶν ἄλλων οὐδὲν] οὔτε δὲ τῶν ἄλλων οὐδέν. D. 1. A. 2. Mox, ἀλλήλοις εἰσὶ στοιχεῖα. D. 1.

στοιχεῖα τὰ κατὰ τὰς β.] τὰ abest. A. 2. Et, δύο loco β. D. 1. A. 1. 2. Mox, ποιότητας τὰς ἐναντίας. A. 2. ποιότητας ἐναντίας. M. 1. Omisso τὰ, habet κατὰ τὰς ἐναντίας δύο ποιότητας. Con. Valla vulgatum habet. Tamen non expressit τά.

οὐκ ἠδύνατο] οὐκ ἐδύνατο. A. 1. 2. *Recusarunt*. Vall.

τινὸς δεσμοῦ τεταγμένου, τοῦ συνδέοντος αὐτὰ, ἔταξεν ὁ 67
δημιουργὸς ἐν μέσῳ μὲν τῆς γῆς καὶ τοῦ ἀέρος, ἐναντίων ὄντων, τὸ ὕδωρ, δοὺς αὐτῷ δύο ποιότητας, ψυχρότητα καὶ ὑγρότητα, καθ᾽ ἃς ἠδύνατο τοῖς ἄκροις συναπτόμενον συνδεῖν αὐτά. τῷ μὲν γὰρ ψυχρῷ συνοικειοῦται τῇ γῇ· τῷ δὲ ὑγρῷ συνάπτεται τῷ ἀέρι. πάλιν μέσον τοῦ ὕδατος καὶ τοῦ πυρὸς, ἐναντίων ὄντων καὶ αὐτῶν, ἔταξε τὸν ἀέρα, τῇ μὲν ὑγρᾷ ποιότητι οἰκειούμενον τῷ ὕδατι, τῇ δὲ θέρμῃ τῷ πυρί· καὶ οὕτω τὰ ἐναντία συνῆψεν ἀλλήλοις διὰ μέσων τινῶν, τῶν συνδεόντων καὶ ἑαυτὰ καὶ τὰ συνδούμενα. ὁ γὰρ τοιοῦτος δεσμὸς ἄριστός ἐστιν. ἕκαστον οὖν αὐτῶν κατὰ μὲν τὴν ἑτέραν ποιότητα συνῆψε τῷ πρὸ αὐτοῦ, κατὰ δὲ τὴν ἑτέραν, τῷ μετ᾽ αὐτό· οἷον τὸ ὕδωρ ψυχρόν ἐστι καὶ

VAR. LECT. ET ANIMADV.

ἐν μέσῳ ad συναπτόμενον] absunt. M. 1.

καθ᾽ ἃς ἠδύνατο] καθ᾽ ἃς ἐδύνατο. A. 1. 2.

συνδεῖν αὐτὰ] *devinciri.* Vall. Mox idem omittit συνοικειοῦται. A. 3. ita: συνδεῖν. αὐτὰ μὲν γὰρ ψυχρῷ.

ἐναντίων ὄντων καὶ αὐτῶν ἔταξε] ἐναντίων καὶ ὄντων ἔταξε. Ox. Fecit extremorum ſibi invicem repugnantium vinculum. Vall. Ὄντων καὶ αὐτῶν omittit Con.

τῇ μὲν ὑγρᾷ ποιότητι οἰκειούμενον τῷ ὕδατι] Ita a man. rec. in margine. Sed in textu: τοῦτο τῇ μὲν γὰρ ὑγρᾷ κ. τ. λ. A. 2. Et, ὑγρότητι, loco ὑγρᾷ ποιότητι. A. 1. Vall.

διὰ μέσων] διὰ μέσον. M. 1. Forte voluit διὰ μέσου. Mox, καὶ αὐτά. A. 3.

καὶ τὰ συνδούμενα] καὶ συνδεαμένων. Con. Quae et ſe cum aliis vincirent et quibus alia vincirentur. Vall. Nemeſius hic Platonem imitatus eſt in Timaeo pag. 478. δεσμῶν δ᾽ ὁ κάλλιστος, ὃς ἂν αὑτὸν καὶ τὰ ξυνδούμενα ὅτι μάλιστα ἓν ποιῇ.

κατὰ μὲν τὴν ἑτέραν ποιότητα συνῆψε τῷ πρὸ αὐτοῦ] κατὰ μὲν τὴν καθ᾽ ἕτερα ποιότητα συνῆψεν, ἀὴρ ὑγρὸς καὶ θερμὸς ἄριστος τῷ πυρὶ καὶ ὕδατι. ἄριστον οὖν αὐτῶν ἐστὶ, τὸ καθ᾽ ἑκατέραν ποιότητα συνάψαν τῷ πρὸ αὐτοῦ. D. 1. Loco συνῆψε habet συνάπτεται. Con. Sed συνάψαντα. M. 1.

συνῆψε τῷ πρὸ αὐτοῦ] συνάψαν τὸ πρὸ αὐτοῦ. A. 1. συνῆψε et ſupra ἧπται, id eſt, συνῆπται. A. 2.

κατὰ δὲ τὴν ἑτέραν τῷ μετ᾽ αὐτὸ] κατὰ δὲ τὴν δευτέραν τῷ μετ᾽ αὐτόν. D. 1.

ὑγρόν· ἀλλὰ κατὰ μὲν τὸ ψυχρὸν τῇ γῇ συνάπτεται, οὔσῃ πρὸ αὐτοῦ κατὰ τὴν ἄνοδον· κατὰ δὲ τὸ ὑγρὸν, τῷ ἀέρι, ὄντι μετ' αὐτό. ὁμοίως καὶ ὁ ἀὴρ κατὰ μὲν τὸ ὑγρὸν συνάπτεται τῷ ὕδατι, πρὸ αὐτοῦ ὄντι· κατὰ δὲ τὸ θερμὸν, τῷ πυρὶ, ὄντι μετ' αὐτόν. καὶ τὸ πῦρ δὲ κατὰ μὲν τὴν θερμότητα συνάπτεται τῷ ἀέρι, πρὸ αὐτοῦ ὄντι· κατὰ δὲ τὴν ξηρότητα τῇ γῇ κατ' ἐπίκλασιν καὶ ἐπιστροφὴν τὴν πρὸς τὸ ἄκρον· οὕτω δὲ καὶ ἡ γῆ κατὰ μὲν τὸ ψυχρὸν τῷ ὕδατι· κατὰ δὲ τὸ ξηρὸν τῷ πυρὶ κατ' ἐπίκλασιν. ἵνα
68 γὰρ μὴ μόνον τὴν πρὸς τὸ ἄνω καὶ τὸ κάτω κάθοδόν τε καὶ ἄνοδον τὴν σχέσιν ἔχῃ τὰ στοιχεῖα, ἀλλὰ καὶ τὴν κατὰ

VAR. LECT. ET ANIMADV.

ὁμοίως καὶ ὁ ἀὴρ κατὰ μὲν κ. τ. λ.] ὁμοίως δὲ καὶ ὁ ἀὴρ — πυρὶ μετ' αὐτὸ (ν additum a rec. ut ſit αὐτὸν) ὄντι. A. 2.

πυρὶ ὄντι μετ' αὐτὸ] πυρὶ μετ' αὐτὸν (ν in raſura, ſed a prima man. credo) ὄντι. D. 1. πυρὶ μετ' αὐτὸ ὄντι. A. 1. πυρὶ μετ' αὐτὸν ὄντι. A. 3.

ὁμοίως καὶ ὁ ἀὴρ ad πυρὶ ὄντι μετ' αὐτὸ] abſunt. D. 1. A. 1. 2. 3. Ox. Con. Vall. Bis idem erat in Ant.

καὶ τὸ πῦρ δὲ κατὰ μὲν τὴν] μὲν abeſt. D. 1. Mox συνάπτεται Valla reddidit, *conciliatur*, i. e. οἰκειοῦται. Paullo poſt τὴν γῆν, loco τῇ γῇ. A. 2.

πρὸς τὸ ἄκρον] πρὸς τῷ ἄκρῳ. A. 1. Paullo poſt: πρὸς τὸ ἄνω καὶ κάτω. A. 3.

κατ' ἐπίκλασιν] Valla addit, *copulatur*. Mox idem: ἵνα γὰρ μὴ μόνον reddidit, *ſi quidem non ſolum*. Deinde idem: *ſuperna et inferna*, i. e. τὰ ἄνω καὶ τὰ κάτω. Ἐπίκλωσιν et hic, et paullo poſt, loco ἐπίκλασιν. A. 3.

σχέσιν ἔχῃ] σχέσειν ἔχει. D. 1. A. 3. M. 1. σχέσιν ἔχοι. A. 2. Ellebodius interpres τὴν σχέσιν non expreſſit. Cono ita habet: Nam ut (*non*, addendum) modo juxta deſcenſum et aſcenſum ad ſuperiora et inferiora, ſed etiam ſecundum circularem, habitudinem poſſideant elementa ad invicem, quodammodo extrema inflexit, ignem dico et terram. Ergo ita: ἵνα γὰρ μὴ μόνον κατὰ τὴν πρὸς — ἄνοδον τὴν σχέσιν — ἀλλὰ καὶ κατὰ τὴν κατὰ κύκλον, aut, ἀλλὰ καὶ κατὰ τὴν κυκλικήν. Sed ita deeſt ſubſtantivum. Conone ergo duce ita arbitror: μόνον κατὰ τὴν — ἄνοδον τὴν σχέσιν — ἀλλὰ καὶ κατὰ τὴν (intellige, σχέσιν) κατὰ κύκλον. Nam κατὰ κύκλον ſine errore potuit reddere *circularem*. Sanus etiam foret totus

κύκλον, ἐπέκαμψέ πως καὶ ἐπέστρεψε τὰ ἄκρα πρὸς ἄλληλα· λέγω δὲ, τὸ πῦρ καὶ τὴν γῆν· καὶ γὰρ τὸ πῦρ ἀποβαλὸν τὴν θερμότητα μόνην, γίνεται γῆ· τοῦτο δὲ δῆλον ἐκ τῶν κεραυνῶν· καταφερόμενον γὰρ τὸ πῦρ καὶ ψυχόμενον ἐκ τῆς ὑπεροπτήσεως ἀπολιθοῦται. διὸ πᾶς κεραυνὸς μετὰ λίθου καὶ θείου φέρεται· ἔστι δὲ τὸ θεῖον, ὥσπερ πῦρ ἀπεψυγμένον, οὐκ ἔτι θερμὸν κατ' ἐνέργειαν, ἀλλὰ δυνάμει, ξηρὸν δὲ, καὶ ἐνεργείᾳ. μόνα δὲ τὰ στοιχεῖα κατ' ἐνέργειαν ἔχει τὰς ποιότητας· τὰ δὲ ἄλλα πάντα, δυνά-

VAR. LECT. ET ANIMADV.

tus locus, ſi modo vocabula, κάθοδόν τε καὶ ἄνοδον τὴν, tollerentur. Etenim ἄνοδος et κάθοδος per ſe intelligitur ex ἄνω et κάτω, σχέσιν autem hoc modo non haberet duplicem ante ſe articulum τήν. Valla omittit primum τὴν, ante πρὸς τὸ ἄνω, deinde etiam τὴν σχέσιν, et iterum τὴν ante κατὰ κύκλον, ac poſtremo, λέγω δὲ ad καὶ τὴν γῆν. Vocabula autem ἐπέκαμψε — πρὸς ἄλληλα paſſive reddidit ſic: *aliquo modo inflexa et converſa ſunt extrema et inter ſe invicem.*

ἀλλὰ καὶ τὴν] καὶ τὴν abeſt. M. 1. A. 3. Mox, ἐπέκαμψέ τε καί. A. 3.

καὶ ἐπέστρεψε] καὶ ἐπέτρεψε. D. 1.

ἄκρα πρὸς ἄλληλα] ἄκρα, καὶ πρὸς ἄλληλα. A. 1.

τὸ πῦρ ἀποβαλὸν] τὸ πῦρ ἀποβάλλον. D. 1.

τοῦτο δὲ δῆλον] δὲ abeſt. D. 1.

ἐκ τῆς ὑπεροπτήσεως] ἐκ τῆς ὀπτήσεως. D. 1. *Ex delapſu.* Vall. Ac ſi legerit, καταπτώσεως.

θείου φέρεται] θείου ἀφέρεται. Sic. A. 3.

πῦρ ἀνεψυχμένον] πῦρ ἀπεψυχμένον. D. 1. A. 2. 3. Ox. Utrumque in uſu eſt, notatque *refrigerare.* Sed ἀποψύχειν eſt etiam *mori.* M. 1. habet, ἀνεψηγμένου. Mox, οὐκέτι δὲ θερμόν. A. 2. 3. Paullo ante ὥσπερ omittit Con.

ξηρὸν δὲ καὶ ἐνεργείᾳ] τὸ δὲ ξηρὸν καὶ ἐνεργείᾳ. A. 1. 3. τὸ ξηρὸν δὲ (ἔχει additum a man. rec.) καὶ κατ' ἐνέργειαν. A. 2. τὸ ξηρὸν, καὶ ἐνεργείᾳ. Sed comma et accentus in vocibus καὶ et ἐνεργείᾳ a man. rec. D. 1. καὶ ξηρὸν ἐνεργείᾳ. Con. *Verum actu adhuc ſiccum.* Vall.

πάντα δυνάμει ἐὰν μὴ] ante ἐὰν in marg. a man. rec. ita: ἐὰν γὰρ μὴ πλησιάσῃ στοιχείῳ, οὐ μεταλαμβάνει τῆς οἱασοῦν ποιότητος. A. 2. Sed hanc credo eſſe explicationem.

μει, ἐὰν μὴ πλησιάσῃ στοιχείῳ. ἵνα δὲ μηδέποτε ἐπιλείπῃ μήτε τὰ στοιχεῖα, μήτε τὰ ἐξ αὐτῶν συγκρίματα, σοφῶς ὁ δημιουργὸς ἐτεχνάσατο, ὥστε τὰ στοιχεῖα καὶ εἰς ἄλληλα μεταβάλλεσθαι, καὶ εἰς τὰ συγκρίματα, καὶ πάλιν τὰ συγκρίματα εἰς τὰ στοιχεῖα ἀναλύεσθαι. καὶ οὕτως ἐξ ἀλληλογονίας διαρκοῦς συνιστάμενα σώζεται διαπαντός. γῆ μὲν γὰρ πηλωθεῖσα γίνεται ὕδωρ· ὕδωρ δὲ πυκνωθὲν καὶ πηλωθὲν γίνεται γῆ· θερμανθὲν δὲ καὶ ἐξατμισθὲν γίνεται ἀήρ· ἀὴρ δὲ συναχθεὶς μὲν καὶ πυκνωθεὶς γίνεται ὕδωρ·

VAR. LECT. ET ANIMADV.

ἐπιλίπῃ] ἐπιλείπῃ. D. 1. A. 3. ἐπιλίπῃ, ſed punctis notatum. A. 2. *Deficiant*. Con. Vall. ποτε μηδὲ habet, loco μηδέποτε. M. 1. Mox συγκρίμενα, loco συγκρίματα. A. 3.

καὶ εἰς ἄλληλά τε] τε abeſt. D. 1. A. 1. 3. καὶ et τε omittit A. 2.

καὶ εἰς τὰ συγκρίματα] et in concreta *ex ipſis*. Con. Idem continuo: ac rurſus haec in illa reſolverentur. Valla: et concreta porro ipſa reſolverentur ao dilaberentur in ſua principia.

εἰς τὰ στοιχεῖα ἀναλύεσθαι] poſt στοιχεῖα addit: ἐν ἑαυτοῖς εἰς αὐτά. D. 1.

διαρκοῦς συνιστάμενα σώζεται] διαρκοῦς δι' ἑαυτῶν διανιστάμενα σώζεται. D. 1. διαρκῶς habet A. 3. Ex mutua inter ſe ſufficientia vel ſucceſſione ſalva ſemper conſervarentur, Con. Atque ita ex alterna generatione perdurando conſiſtentia univerſa conſervantur. Vall.

πηλωθεῖσα] πιληθεῖσα. D. 1. A. 1. 3. M. 1. Ant. in marg. Etiam A. 2. ſed hic ex correct. antea fuerat πηληθεῖσα. Πιλόω et πιλέω, quod mox occurrit, idem eſt, quod πυκνόω. Hoc loco ergo probo πηλωθεῖσα, a πηλὸς, πηλέω, *in lutum converto*. Con. *luteſcens*. Valla: Terra quidem diſſoluta et liquefacta fit aqua: aqua vero concreta atque congelata fit terra.

πυκνωθὲν καὶ πιληθὲν] Sed haec ſynonyma ſunt. Ergo iterum legendum πηλωθέν. Cono: *lutea effecta*.

θερμανθὲν δὲ καὶ κ. τ. λ.] θερμανθὲν δὲ καὶ πιληθὲν καὶ ἐξατμισθέν. D. 1. ἐξατμίζουσα et in marg. a man. rec. ἐξατμίζον, loco ἐξατμισθέν. A. 2. θερμαθέν. A. 3.

συναχθεὶς μὲν] μὲν abeſt. A. 3. Mox omittit etiam: ξηρανθεὶς — μεταβάλλεται.

ξηρανθεὶς δὲ, εἰς πῦρ μεταβάλλεται· οὕτω δὲ καὶ τὸ πῦρ, σβεσθὲν μὲν καὶ ἀποβαλὸν τὴν ξηρότητα, ἐξαεροῦται. ἔστι γὰρ ἀὴρ, σβέσις πυρὸς καὶ ἀτμὶς ὕδατος θερμανθέντος. ἐξ ἀμφοτέρων οὖν δῆλον, ὡς ἐκ θερμότητος ἡ γένεσις αὐτῷ· καὶ γὰρ θερμανθὲν τὸ ὕδωρ, καὶ σβεσθὲν τὸ πῦρ, ἀὴρ γίνεται. ἔστιν οὖν κατὰ μὲν τὴν οἰκείαν φύσιν θερμός· ψύ-
χεται δὲ τῇ γειτνιάσει τῇ πρὸς τὸ ὕδωρ καὶ τὴν γῆν· ὡς 69
τὰ μὲν κάτω μέρη αὐτοῦ, τὰ πρὸς τῇ γῇ, ψυχρὰ εἶναι· τὰ δὲ ἄνω, καὶ πρὸς τῷ πυρὶ, θερμά. συμβαίνει δὲ τοῦτο διὰ τὸ μαλακὸν καὶ εὐπαθὲς τοῦ ἀέρος· ταχέως γὰρ ἐξίσταται τῆς οἰκείας φύσεως καὶ μεταβάλλεται. Ἀριστοτέλης δὲ δύο γένη εἶναι τοῦ ἀέρος φησί· τὸ μὲν ἀτμῶδες,

VAR. LECT. ET ANIMADV.

οὕτω δὲ καὶ τὸ πῦρ σβεσθὲν μὲν καὶ] omittit Con.

καὶ ἀποβαλὸν] καὶ ἀποβαλὼν, ſed ſupra ο. D. 1. καὶ ἀποβάλλον. A. 2.

ἐξαιροῦται] ἐξαεροῦται. M. 1. D. 1. A. 1. 2. 3. Ox. Iſtud eſt vitium, quod vel ex verſione Ellebodii diſcitur.

ἔστι γὰρ ἀὴρ σβέσις] ἔστι γὰρ (ἀὴρ inſertum a rec.) σβέσις (antea σβέσει, ſed a prima man. corr.). D. 1. δὲ, loco γάρ. M. 1. Mox, ἀτμὸς, loco ἀτμίς. D. 1. et A. 3. Idem mox rurſus habet θερμαθέντος, et poſtea, θερμαθέν.

ἐξ ἀμφοτέρων — γένεσις αὐτῷ] ex utroque igitur aër gignitur. Vall.

ἡ γένεσις αὐτῷ] ἡ γέννησις αὐτῷ. D. 1. ἡ ἕνωσις αὐτῶν. M. 1.

ἀὴρ γίνεται — οἰκείαν] ἀὴρ γίνονται. ἔστι γοῦν κατὰ μὲν τὴν οἰκείαν. D. 1. Mox vitioſe θερμὶς, loco θερμός. Ox.

ἔστι μὲν οὖν κατὰ τὴν] μὲν, ante οὖν, omittunt, et poſt κατὰ ponunt. A. 1. 2. 3. οὖν abeſt. M. 1.

θερμός· ψύχεται] θερμόν· ψύχεται. A. 1. 2.

τῇ πρὸς τὸ ὕδωρ γειτνιάσει — γῆν. ὡς τὰ μὲν] τῇ γειτνιάσει τῇ πρὸς τὸ ὕδωρ καὶ τὴν γῆν. ὡς τὰ μέν. A. 1. 3. D. 1. Sic et A. 2. ſed πρὸς τῇ γῇ. τῇ a principio abeſt. M. 1. Cono accedit Codicibus A. 1. D. 1.

τὰ δὲ ἄνω] τὰ δὲ πρὸς τὰ ἄνω. M. 1.

καὶ πρὸς τὸ πῦρ θερμὰ] καὶ πρὸς τῷ πυρὶ θερμά. A. 1. 3. D. 1.

συμβαίνει δὲ] γὰρ, loco δέ. A. 3. Mox idem εὐπειθὲς, loco εὐπαθές.

δύο φύσεις εἶναι τοῦ ἀέρος φησὶ] δύο γένη τοῦ ἀέρος εἶναί φησι. D. 1. A. 1. 2. 3. Γένη probari poteſt; etſi mox ſit, διττὴν φύσιν. *Genera.* Con. Vall.

τὸ ἐκ τῆς ἀναθυμιάσεως τοῦ ὕδατος· τὸ δὲ καπνῶδες, τὸ ἐκ τῆς σβέσεως τοῦ πυρός· καὶ τὸ μὲν καπνῶδες, θερμὸν εἶναι· τὸ δὲ ἀτμῶδες, ἔνθα μὲν τίκτεται, θερμὸν καὶ αὐτὸ, προϊὸν δὲ κατὰ μέρος ψύχεσθαι, καὶ προκοπτον ἐξυδατοῦσθαι. ἵνα δὲ καὶ ἄλλα τινὰ δοκοῦντα εἶναι ἄτοπα ἐκδιαφύγῃ, καὶ πρὸς τούτοις, τὸ τὰ ὑψηλότερα καὶ πολὺ τῆς γῆς ἀφεστῶτα ψυχρότερα φαίνεσθαι, διττὴν ὑπέθετο τὴν φύσιν αὐτοῦ. πάντα δὲ τὰ σώματα τὴν γένεσιν ἐκ τῆς συνόδου τῶν τεσσάρων τούτων στοιχείων ἔχει, τά τε τῶν φυτῶν καὶ τὰ τῶν ζώων· τῆς φύσεως τὰ καθαρώτατα τῶν στοιχείων εἰς τὴν γένεσιν τούτων τῶν σωμάτων ἑλκούσης. καλεῖ δὲ ταῦτα τὰ σώματα Ἀριστοτέλης φυσικά· οὐ κατὰ σωρείαν συντιθεμένων αὐτῶν, ἀλλ' ὅλων δι' ὅλου εἰς ἕνωσιν

VAR. LECT. ET ANIMADV.

τὸ ἐκ τῆς σβέσεως — καπνῶδες] omittit. Vall.

σβέσεως τοῦ πυρὸς] ὕδατος, loco πυρὸς, fed a primo fupraſcriptum πυρός. D. 1.

καὶ τὸ μὲν καπνῶδες,] μὲν abeſt. A. 2. Paullo poſt προκόπτον omittit Con. *Sibi fuccedens*, id reddidit Vall.

δοκοῦντα εἶναι ἄτοπα ἐκδιαφύγῃ] ἄτοπα δοκοῦντα ἐκδιαφύγῃ. A. 1. Solum διαφύγῃ, loco ἐκδιαφύγῃ mutat D. 1. M. 1. A. 3.

καὶ πρὸς τούτοις κ. τ. λ.] Sublimia calida et multum dejecta terraeque remiſſa frigidiora videri voluit: itaque et duplicem ipſius naturam fecit. Vall.

πάντα δὲ τὰ σώματα] Apud Con. incipit libri 3. cap. 3. Quomodo ad fe uniantur elementa in corpore, fecundum Ariſtotelem: et de proprietate elementorum atque habitudine, fecundum Platonem.

τεσσάρων τούτων στοιχείων] τούτων abeſt. A. 3.

φυτῶν καὶ τῶν ζώων] τὰ, ante τῶν, addit D. 1. A. 1. Proxima corrupta funt apud Con. Sed Valla conſentit cum Graeco. Solum καθαρώτατα reddidit, *defecatiſſima et purgatiſſima.*

εἰς τὴν γένεσιν] εἰς τὴν γέννησιν. D. 1.

ταῦτα τὰ σώματα] τὰ abeſt. Ox. Mox ει. in σωρείαν ex correct. rec. D. 1.

ὅλων δι' ὅλου κ. τ. λ.] ὅλον δι' ὅλου εἰς ἄλληλα χωρούντων, καὶ ἀπὸ τῆς συνόδου ἑαυτῶν εἰς ἑαυτὰ ποιούντων τὸ σῶμα. οὕτω γὰρ ἥνωνται, ὡς. D. 1. In hac lectione mihi diſplicet,

ἀνακιρναμένων, καὶ ἕν τι καὶ ἄλλο παρ᾽ αὐτὰ ποιούντων τὸ σῶμα· οὕτω γὰρ ἥνωται, ὡς μὴ οἷόν τε εἶναι διακρίναι αὐτά· μηδὲ ἰδίᾳ μὲν θεάσασθαι τὴν γῆν, ἰδίᾳ δὲ τὸ ὕδωρ καὶ τὸν ἀέρα καὶ τὸ πῦρ, τῷ ἕν τι καὶ ἄλλο παρὰ ταῦτα ἐκ τῆς συνόδου τῶν τεσσάρων γεγενῆσθαι, ὡς ἐπὶ τῆς τετραφαρμάκου. καὶ γὰρ ἐκεῖ ἄλλο ἡ τετραφάρμακος παρὰ τὰ ἐξ ὧν σύγκειται, οὐχ ὁμοίως μέντοι. οὐ γὰρ κατὰ παράθεσιν τὴν τῶν λεπτομερεστάτων, ὡς ἐν τῇ τετραφαρμάκῳ, τὰ στοιχεῖα ποιεῖ τὰ σώματα· ἀλλὰ κατὰ μεταβολὴν καὶ ἑνότητα. πάλιν δὲ εἰς τὰ στοιχεῖα ἀναλύεται τὰ

VAR. LECT. ET ANIMADV.

cet, quod omiſſa ſunt, ἕν τι καὶ ἄλλο παρ᾽ αὐτὰ, quae tamen mox repetuntur. Καὶ ἄλλο παρ᾽ αὐτὰ omittit etiam Con. Παρ᾽ αὐτὰ, id eſt, τὰ στοιχεῖα. Valla: Sed totis per *tota* ad unionem remixtis et unum aliquod *ſecum* corpus efficientibus.

καὶ ἄλλο παρ᾽ αὐτὰ] ἑαυτὰ, loco αὐτά. A. 1. ἑαυτὸ habet A. 3. Mox, γὰρ ἥνωνται. A. 3. et, διακρῖναι. Idem. διακρῖναι ex correct., antea vulgatum. D. 1. εἶναι abeſt. M. 1.

μηδὲ ἰδίᾳ] μήτε ἰδίᾳ. A. 2.

καὶ τὸ πῦρ τῷ ἕν τι καὶ ἄλλο] loco τῷ, habet καὶ τό. D. 1. Τὸ, loco τῷ. A. 2. Omiſſo τῷ, habet ἕν τι ἄλλο καί τι παρά. M. 1. Mox, τῶν τεσσάρων, loco τῶν δ. D. 1. A. 1. Et ignem per ſe unum aliquod. At queas haec, ut ex ipſorum quatuor copula genitum: quod ita propemodum efficiunt elementa, ut in tetrapharmaco accidit. Vall.

ἐξ ὧν σύγκειται] ab his quae compinguntur atque commiſcentur. Vall. Mox μέν τι, loco μέντοι. M. 1.

κατὰ παράθεσιν] Atqui nec τετραφάρμακος fit κατὰ παράθεσιν, ſed κατὰ σύγχυσιν. Ita Philo p. 738. A. κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος. Attamen Con. et Vall. habent etiam *per appoſitionem*. Et ſuperius etiam pag. 56. Nemeſius dixit, vinum et aquam miſceri κατὰ παράθεσιν.

λεπτομερεστάτων] λεπτομερεστέρων. D. 1. Ita Graece exhibet Con. *Minutiſſimarum*. Vall.

στοιχεῖα ποιεῖ τὰ σώματα] ποιεῖται, loco ποιεῖ. D. 1. A. 3.

σώματα φθειρόμενα· καὶ τούτῳ τῷ τρόπῳ διαμένει διηνεκῶς τὰ πάντα, καὶ διαρκεῖ πρὸς τὴν τῶν ὄντων γένεσιν, μήτε πλεονάζοντα ποτὲ, μήτε μειούμενα· ὅθεν καὶ τὴν ἄλλου γένεσιν, ἄλλου φθορὰν εἶναί φησι, καὶ τὴν ἄλλου φθορὰν, ἄλλου γένεσιν, οὐ μόνον κατὰ τὴν ψυχὴν, ὡς προείρηται, ἀλλὰ καὶ κατὰ τὸ σῶμα. Πλάτωνι δὲ δοκεῖ, τὰ μὲν τρία στοιχεῖα μεταβάλλειν εἰς ἄλληλα, τὴν δὲ γῆν ἀμετάβλητον μένειν. ἀπεικάζων γὰρ ἑκάστῳ στοιχείῳ τὰ στερεώματα τῶν εὐθυγράμμων σχημάτων· τῇ μὲν γῇ, τὸ κυβικὸν σχῆμα· ἐπειδὴ ἀκινητότατον τῶν λοιπῶν ἐστιν· ὕδατι δὲ, τῶν λοιπῶν τὸ δυσκινητότατον τὸ εἰκοσάεδρον· τὸ δὲ εὐκινητότατον, τὸ πυραμοειδὲς, τῷ πυρί· τὸ δὲ ὀκτάεδρον, τῷ ἀέρι· ὅπερ ἐστὶν εὐκινητότερον μὲν ὕδατος, δυσκινητότερον δὲ πυρός· ἐκ τούτων τῶν σχημάτων ποιεῖται τὴν ἀπόδειξιν τοῦ τὰ μὲν τρία εἰς ἄλληλα μεταβάλλειν·

VAR. LECT. ET ANIMADV.

τὰ σώματα· καὶ τούτῳ] post σώματα addunt φθειρόμενα. D. 1. A. 1. 2. Habet hoc ante τὰ σώματα. A. 3. *Cum corrumpuntur.* Con. *corrupta.* Vall.

καὶ ἀρκεῖ] καὶ διαρκεῖ. D. 1. A. 2. 3. M. 1.

μήτε πλεονάζοντα] inter μή et τε eſt raſura fere trium litterarum. Forte ποτε hic deletum, quod mox legitur. D. 1.

εἶναί φασι] εἶναί φησι. D. 1. φησὶ probandum et ad Ariſtotelem videtur referendum. Sic et Cono. Valla reddidit, *conſtat.*

μεταβάλλειν εἰς ἄλληλα] ἄλλα, loco ἄλληλα. M. 1. Paullo ante: ἀλλὰ κατὰ τὸ σῶμα. Πλάτων. A. 3.

τὰ στερεώματα τῶν εὐθυγράμμων σχημ. τῇ μὲν] τὰ σχήματα τῶν εὐθυγράμμων, τῇ μέν. Litterae εὐθὺ in raſura ſcriptae a man. rec. D. 1. εὐθυγραμμῶν ſolum mutat A. 2. τῶν omittit M. 1. Loca Platonis ſunt in Timaeo pag. 487. Eadem refert Diog. Laërt. pag. 124. 125. Cono: *figuram rectilineam.* Valla: *rectilinearum figurarum ſoliditates.*

ἐστὶ τῶν λοιπῶν] τῶν λοιπῶν ἐστιν. A. 2. 3. D. 1.

τὸ εἰκοσάεδρον, τὸ δὲ εὐκινητότατον] a man. rec. in marg. addita. D. 1. *Icoſedra.* Con. Icoſaëdron. Vall.

τοῦ τὰ μὲν τρία] antea, τοῦ μὲν τὰ τρία, ſed litteris α. β. γ. ad ſua loca revocantur. D. 1. Mox, ἄλλα, loco ἄλληλα. M. 1. et, μεταβάλλειν. D. 1. A. 2. 3

τὴν δὲ γῆν τοῦτο μὴ πάσχειν. τὰ μὲν γὰρ τρία, τήν τε
πυραμίδα καὶ τὸ ὀκτάεδρον καὶ τὸ εἰκοσάεδρον ἐκ σκαληνῶν
τριγώνων συνίστασθαι· τὸν δὲ κύβον, ἐξ ἰσοπλεύρων τρι-
γώνων. ὅσα τοίνυν ἐκ τῶν σκαληνῶν συνέστη τριγώνων, ταῦτα
δύνασθαι διαλυόμενα καὶ πάλιν συνιόντα εἰς ἄλληλα μετα-
βάλλειν· μήτε δὲ τὸν κύβον διαλυθέντα εἴς τι τῶν ἄλλων 71
τριῶν σχημάτων δύνασθαι μεταβάλλειν. ἐξ ἰσοπλεύρων
γὰρ τριγώνων συνέστηκεν, ἐξ ὧν οὐδὲν τῶν ἄλλων τριῶν
συστῆναι δύναται· μήτ' αὖ τι τῶν τριῶν σχημάτων εἰς κύ-
βον. ἀνάγκη οὖν, καὶ τὰ εἰδοποιηθέντα σώματα κατὰ τὰ
εἴδη ταῦτα οὕτως ἔχειν πρὸς ἄλληλα, ὡς ἐκεῖνα εἶχεν.

VAR. LECT. ET ANIMADV.

τὴν δὲ γῆν — πάσχειν] terram ſolam immobilem permanere. Vall.

τήν τε πυραμίδα] τε abeſt. A. 1.

σκαληνῶν] σκαλινῶν. D. 1. A. 1. M. 1. Et ſic mox. Sed τῶν omittit. D. 1. Σκαλίνων, et mox, ἐκ σκαλίνων. A. 2.

τὸν δὲ κύβον] τὸ δὲ κυβικόν. D. 1.

τριγώνων συνέστη] συνέστη τριγώνων. A. 1. 2. 3. Sic et D. 1. Sed in hoc antea fuerat συνέστηκε. Nunc ſyllaba κε raſura ſublata. Mox, ταῦτα δύναται. A. 1. 2. D. 1. Sic, et mox, διαλυόμενος. A. 3. Deinde ἄλλα, loco ἄλληλα. M. 1.

μεταβάλλεσθαι. οὐ μὴν καὶ τὸν κύβον — τῶν ἄλλων] μεταβάλλεσθαι. μήτε δὲ τὸν κῦβον (antea κύβον) διαλυθέντα ἔστι τῶν ἄλλων. D. 1. μεταβάλλεσθαι. μήτε δὲ κῦβον διαλυθέντα εἴς τι τῶν ἄλλων. A. 1. μεταβάλλειν. μήτε δὲ τὸν κῦβον διαλυθέντα εἴς τι τῶν ἄλλων. A. 2. μεταβάλλεσθαι· μήτε δὲ κύβου διαλυθέντος εἴς τι τῶν ἄλλων. A. 3. *Neque* cubus. Vall. Ad hoc μήτε, mox refertur alterum μήτε. Μήν τε, loco μὴν καί. M. 1

συνέστηκεν] συνέθηκεν. Ox. Mox, poſt ἐξ ὧν, omittit οὐδέν. A. 3.

μήτ' αὖ τι τῶν τριῶν σχημάτων] μήτ' αὖ τῶν τριῶν τι σωμάτων. D. 1. μήτ' αὖ τι τῶν τριῶν σχημάτων. A. 1. μήτ' αὐτῶν τριῶν τι σχημάτων. A. 2. μήτ' αὐτῶν τῶν τριῶν σχημάτων. M. 1. Mox κῦβον ex correct., antea κύβον. D. 1. κῦβον. A. 1.

τὰ εἰδοποιηθέντα σώματα κατὰ τὰ εἴδη ταῦτα] καί, loco κατά. A. 2. Neceſſe eſt igitur et ſpeciem efficientia

οὐ μὴν ἀπαθὴς ἔμενεν ἡ γῆ, ἀλλὰ διαιρεῖται ὑπὸ τῶν λεπτομερεστέρων σωμάτων ἀναστοιχειουμένη μὲν, οὐ μὴν καὶ μεταβαλλομένη, εἰς τὰ διαιροῦντα αὐτήν. πάλιν γὰρ συνιοῦσα εἰς ἑαυτὴν ἀποκαθίσταται, ὅπερ φαίνεται ἐν τῷ ὕδατι. ἐὰν γὰρ εἰς ὕδωρ γῆν ὀλίγην βαλὼν ταράξῃς, διαλύεται εἰς ὕδωρ ἡ γῆ· ἐὰν δὲ παύσῃ ταράττων, στάσιν λαβόντος τοῦ ὕδατος, ὑφιζάνει· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ πάσης τῆς γῆς δεῖ νοεῖν· οὐκ ἔστι δὲ τοῦτο μεταβολὴ, ἀλλὰ διάκρισις τῶν μεμιγμένων. λέγει δὲ ὁ Πλάτων καὶ ὑπὸ τῆς ὀξύτητος τοῦ πυρὸς λύεσθαι τὴν γῆν· ἡ δὲ λυθεῖσα φέρεται ἐν αὐτῷ ἢ ἐν ἀέρος ὄγκῳ, δηλονότι, ὅταν

VAR. LECT. ET ANIMADV.

(ergo εἰδοποιοῦντα) corpora et has ſpecies (ergo καὶ, loca κατά.) ita inter ſe invicem habere, ut illa habuerunt. Vall.

ὡς ἐκεῖνα εἶχεν] ὡς ἐκεῖνα ἔχει. D. 1. *Habebant.* Con.

οὐ μὲν ἀπαθὴς] οὐ μὴν ἀπαθής. D. 1. οὐ μὴ ἀπαθής. A. 1. 2. *Veruntamen non.* Vall. Ἀπαθὴς reddidit Con. *a transmutatione immunis.* Mox idem Graece exhibet, ἀπὸ λεπτομερεστέρας. Pro eo habet: ὑπὸ τῶν λεπτομερεστάτων. A. 3.

οὐ μὴν καὶ μεταβαλλομένη] καὶ abeſt. D. 1.

ἀποκαθίσταται] *reſidet.* Vall. Male.

ἐὰν γὰρ εἰς ὕδωρ] γὰρ abeſt. A. 2. Mox μεταβαλὼν, loco βαλών. A. 1. *Si projeceris.* Vall. Quae continuo adduntur, idem inepte reddidit.

λαβόντος στάσιν] στάσιν λαβόντος. D. 1. στάσιν λαβόντος. A. 1. 2. 3. Mox ταράσσων, ac deinde, ὑφιζάνῃ. A. 3. et, ὑφιζάνει τοῦ ὕδατος, ſed ὑ et ει in ὑφιζάνει ex correct. rec. Prima vero manus litteris α. β. notavit, τοῦ ὕδατος ante ὑφιζάνει legendum eſſe. D. 1.

λέγει δὲ ὁ πλάτων] λέγει δὲ καὶ ὁ πλάτων. A. 2. Apud Platonem in Timaeo p. 487. eſt: γῆ μὲν ξυντυγχάνουσα πυρὶ, διαλυθεῖσά τε ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ᾽ ἂν, εἴτ᾽ ἐν αὐτῷ πυρὶ λυθεῖσα, εἴτ᾽ ἐν ἀέρος, εἴτ᾽ ἐν ὕδατος ὄγκῳ τύχοι.

ἐν αὐτῷ ἢ ἐν ἀέρος ὄγκῳ] Cono: in eum, vel in aëris tumorem, *vel in aquam.* Mox idem: cum ab aëre aut ab aqua diſſolvitur. Aſſerit autem ſecundum alium modum. Ὄγκον Valla reddidit *convexum*, et proximum δηλονότι omiſit.

ὁ ἀὴρ αὐτὴν διαλύσῃ, ἢ ἐν ὕδατι, ὅταν ὑφ' ὕδατος λυθῇ. λέγει δὲ κατ' ἄλλον τρόπον διαιρῶν, ἕκαστον τῶν στοιχείων τρεῖς ποιότητας ἔχειν· τὸ μὲν πῦρ, ὀξύτητα, μανότητα, κίνησιν· τὸ δὲ ἕτερον ἄκρον τῶν στοιχείων, τουτέστι τὴν γῆν, τὰς ἐναντίας ταύταις ποιότητας, ἀμβλύτητα, πυκνότητα, στάσιν· ὡς εἶναι κατὰ ταύτας τὰς ποιότητας ἐναντία τὸ πῦρ καὶ τὴν γῆν, ὅπερ οὐκ ἦν κατὰ τὰς ἄλλας τὰς ἐν συζυγίᾳ ποιότητας· εἰλῆφθαι δὲ ἀφ' ἑκατέρων τῶν ἄκρων ποιότητας, καὶ οὕτω τὰ μέσα στοιχεῖα γεγενῆσθαι· λαμ- 72
βάνονται γὰρ, τοῦ μὲν πυρὸς, δύο ποιότητες, ἡ μανότης καὶ ἡ κίνησις· μία δὲ τῆς γῆς, ἡ ἀμβλύτης, καὶ συνίστα-

VAR. LECT. ET ANIMADV.

δηλονότι ὅταν ὁ ἀὴρ] ὁ abest. D. 1. A. 1. 3.

ὅταν ἐφ' ὕδατος] ὅταν ὑφ' ὕδατος. D. 1. Sic, omisso λυθῇ. A. 3.

λέγει δὲ καὶ κατ'] καὶ abest. D. 1. A. 1. 2. Mox διαιρῶν, loco διαίρων. Iidem et A. 3. Ait praeterea et aliter dividens. Vall.

τὸ δὲ ἕτερον κ. τ. λ.] Alterari (immo, alterum.) vero extremum elementorum, hoc est, terram, secundum *contrarias his qualitates*, obtusitatem. Con. Agnoscit postrema Valla etiam: his oppositas qualitates, retusionem, corpulentiam, immobilitatem.

τουτέστι τὴν γῆν κ. τ. λ.] τουτέστι τὴν γῆν, τὰς ἐναντίας ταύταις ποιότητας, ἀμβλύτητα. D. 1. A. 1. 2. 3. Mox στᾶσιν. D. 1.

ὡς εἶναι κατὰ ταύτας] ὡς εἶναι κατ' αὐτάς. Sed ὡς ex corr. rec. D. 1. ὡς εἶναι (hic καὶ insertum et κατὰ punctis notatum) ταύτας. A. 2. ταύτας abest. M. 1. Mox, τὰς ποιότητας abest. A. 2. Itaque juxta has qualitates. Vall.

τὴν γῆν καὶ τὸ πῦρ] τὸ πῦρ καὶ τὴν γῆν. D. 1. A. 2. Vulgatum habet Con. Vall.

ὅπερ οὐκ ἦν κ. τ. λ.] *Aërem vero et aquam*, quod non talis (Forte, tales, id est, qualitates) secundum conjugationem possiderent, ab extremorum utroque qualitates suscepisse. Con. Notabilis profecto lectio, quam proxima etiam firmant. Valla ista non agnoscit.

εἰλῆφθαι δὲ ἀφ'] γὰρ, loco δέ. A. 2. M. 1. ἐφ', loco ἀφ'. D. 1. M. 1. A singulis deinde extremis accipiens qualitates, aliis eas accommodat elementis. Vall.

οὕτω τὰ μέσα] μὲν, loco μέσα. A. 3.

ται ὁ ἀὴρ εἰδοποιοὺς ἔχων τρεῖς μόνας ποιότητας, ἀμβλύτητα, μανότητα, κίνησιν. πάλιν δύο λαμβάνονται ποιότητες τῆς γῆς, ἀμβλύτης καὶ πυκνότης· τοῦ δὲ πυρὸς, μία μόνη ἡ κίνησις· καὶ γίνεται τὸ ὕδωρ εἰδοποιούμενον καὶ αὐτὸ ἀμβλύτητι, πυκνότητι, κινήσει· ἔστιν οὖν ὡς ὀξύτης πρὸς ἀμβλύτητα, οὕτω πῦρ πρὸς ἀέρα· ὡς δὲ μανότης πρὸς πυκνότητα, οὕτως ἀὴρ πρὸς ὕδωρ· ὡς δὲ κίνησις πρὸς στάσιν, οὕτως ὕδωρ πρὸς γῆν. ὡς ἄρα πῦρ πρὸς ἀέρα, οὕτως ἀὴρ πρὸς ὕδωρ· καὶ ὡς ἀὴρ πρὸς ὕδωρ, οὕτως ὕδωρ πρὸς γῆν. πέφυκε γὰρ τὰ μὲν ἐπίπεδα ὑπὸ μιᾶς μεσότητος συνέχεσθαι, τουτέστιν, ἀναλογίας· τὰ δὲ στερεὰ, ὑπὸ δύο μεσοτήτων. κατ' ἄλλον δὲ τρόπον λέγουσι ποιότητας ἔχειν τὰ στοιχεῖα· τὴν μὲν γὰρ γῆν καὶ τὸ ὕδωρ, βαρύτητα ἔχειν, καθ' ἣν κάτω φύσει φέρονται· τὸν δὲ ἀέρα καὶ τὸ πῦρ, κουφότητα, καθ' ἣν ἄνω φύσει φέρονται. λέγουσι δὲ οἱ στωϊκοὶ, τῶν στοιχείων τὰ μὲν εἶναι δραστικὰ, τὰ δὲ παθητικά· δραστικὰ μὲν, ἀέρα καὶ πῦρ· παθητικὰ δὲ, γῆν καὶ ὕδωρ. Ἀριστοτέλης δὲ καὶ πέμπτον εἰσάγει σῶμα,

VAR. LECT. ET ANIMADV.

εἰδοποιοὺς ἔχων ποιότητας] εἰδοποιοὺς ἔχων τρεῖς μόνας ποιότητας. D. 1. εἰδοποιοῦσας ſolum mutat A. 1. εἰδοποιοὺς quidem ſervat, ſed correctum εἰδοποιάς. Poſt ἔχων vero habet etiam τρεῖς μόνας. A. 2. τρεῖς μόνας non agnoſcit Con. Nec Vall.

μία μόνη ἡ κίνησις] μόνη ἡ abſunt. A. 3.

ἔστιν οὖν ὡς ὀξύτης] ἔσται, loco ἔστιν. D. 1.

οὕτω πῦρ πρὸς ἀέρα] οὕτως πῦρ ὡς πρὸς ἀέρα. D. 1. Mox idem στᾶσιν. Et paullo poſt: ὡς δ' ἄρα πῦρ πρὸς ἀέρα.

τὰ δὲ στερεὰ] τὰ δὲ ἕτερα. M. 1.

κάτω φύσει φέρονται] φύσει κάτω φέρονται. A. 2. φύσει abeſt M. 1.

τὸν δὲ ἀέρα ad ἄνω φύσει φέρονται] abſunt. A. 1. Con. Vall.

ἄνω φύσει φέρονται] ἄνω φέρονται φύσει. D. 1.

στωϊκοὶ — δραστικὰ] στοϊκοὶ (ſed ſupra ω a man. rec.) τὰ μὲν τῶν στοιχείων εἶναι δραστικά. D. 1. τῶν μὲν στοιχείων ἄλλα, loco τῶν στοιχείων τὰ μέν. M. 1. Mox ἀέρα καὶ τὸ πῦρ. Idem. Ariſtot. de generat. et corrupt. II, 2. στοιχεῖα appellat ποιητικὰ et παθητικὰ, ſed alio ſenſu.

ἀριστοτέλης δὲ] Vide Ariſtot. de mundo cap. 2. De coelo II, 3. Eadem ex Ariſtotele refert Diog. Laërt. p. 176. Plut-

τὸ αἰθέριον καὶ κυκλοφορικὸν, μὴ βουλόμενος τὸν οὐρανὸν
ἐκ τῶν τεσσάρων στοιχείων γεγενῆσθαι· κυκλοφορικὸν δὲ
λέγει τὸ πέμπτον σῶμα, ὅτι ἐν κύκλῳ περὶ τὴν γῆν φέ-
ρεται· τοῦ Πλάτωνος διαῤῥήδην φάσκοντος, ἐκ πυρὸς καὶ
γῆς αὐτὸν συνεστάναι. λέγει δὲ οὕτως· „σωματοειδὲς καὶ 73
„ὁρατὸν, ἁπτόν τε δεῖ τὸ γενόμενον εἶναι, χωρὶς δὲ πυρὸς
„οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο. οὐδὲ ἁπτὸν ἄνευ τινὸς στε-
„ρεοῦ· στερεὸν δὲ, οὐκ ἄνευ γῆς· ὅθεν ἐκ πυρὸς καὶ γῆς
„τὸ τοῦ παντὸς συνεστάναι σῶμα ὁ Θεὸς ἀρχόμενος ἐποίει.
„δύο δὲ μόνα καλῶς συνίστασθαι τρίτου χωρὶς, οὐ δυνατόν·
„δεσμὸν γὰρ ἐν μέσῳ δεῖ ἀμφοῖν συναγωγὸν γίνεσθαι·

VAR. LECT. ET ANIMADV.

Plutarch. T. II. p. 878. B. Hic incipit libri 3. cap. 4. Cono. De natura coeli, quod non ſit ex quatuor elementis, ſecundum Ariſtotelem. Et Platonis circa id opinio refertur, et Apollinarii: ubi tandem per epilogum oſtendit, neceſſario eſſe quatuor elementa.

κυκλοφορικὸν δὲ] καὶ ab initio addit A. 3.

περὶ τὴν γῆν φέρεται] περιάγων κεῖται. Sic. Haud dubie voluit, περιάγον κινεῖται. D. 1. περὶ αὐτὸ φέρεται. A. 1. περὶ αὐτὸ φέρεται. A. 3. περὶ αὐτὸν κεῖται. A. 2. περὶ αὐτὸν φέρεται. M. 1. Quod circulari circumgyratione moveatur. Con. Quod ipſum in circulum circumferatur. Vall.

συνεστάναι] συνεστᾶναι. Sic et inferius. D. 1. Αὐτὸν refertur ad οὐρανόν.

λέγει γὰρ οὕτως κ. τ. λ.] λέγει δὲ οὕτως· σωματοειδὲς δὲ καὶ ὁρατόν. D. 1. A. 2. δὲ, loco γὰρ, etiam A. 1. οὕτος habet M. 1. *Enim.* Vall. Apud Platonem in Timaeo p. 477. circa finem eſt: σωματοειδὲς δή. A. 3. exhibet: σωματοειδὲς δὲ τὸ — τὸ γινόμενον.

τὸ γενόμενον] τὸ γινόμενον. D. 1. A. 1. 2. Mox loco χωρὶς δὲ, Plato habet, χωρισθὲν δέ τε πυρός.

τὸ τοῦ παντὸς] τὸ abeſt. M. 1.

συνεστάναι — ἐποίει] Plato ita: ἀρχόμενον συνεστᾶναι σῶμα ὁ θεὸς ἐποίει. Idem mox dualem habet μόνω, loco μόνα, omiſſo καλῶς. Valla: quam ob rem mundum efficere moliens deus, terram primum ignemque jungebat.

δεσμὸν γὰρ ἐν μέσῳ] δεσμὸν γὰρ ἐμμέσῳ. Sic. D. 1. δεσμὸς γὰρ ἐν μέσῳ. Ox. Poſt δεῖ, addit τινὰ Plato.

συναγωγὼν γίνεσθαι] συναγωγὸν γίνεσθαι. D. 1. A. 1. 2. 3.

„δεσμῶν δὲ κάλλιστος, ὃς ἂν ἑαυτόν τε καὶ τὰ ξυνδούμενα „ἓν ποιῇ ὅτι μάλιστα·" τοῦτο δὲ πέφυκεν ἀναλογία κάλλιστα ἀποτελεῖν· δεσμὸν λέγων, τὰ μέσα δύο στοιχεῖα ἐξ ἀναλογίας εἰλημμένα τῆς προῤῥηθείσης. οἱ δὲ τὰ τῶν Ἑβραίων πρεσβεύοντες διαφέρονται περὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς. οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες, ἐξ οὐδεμιᾶς προϋποκειμένης ὕλης φάσκουσι γεγενῆσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐπειδὴ Μωϋσῆς φησιν· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· Ἀπολινάριος δὲ ἐκ τῆς ἀβύσσου πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν γῆν βούλεται· τῆς γὰρ ἀβύσσου

VAR. LECT. ET ANIMADV.

δεσμὸς δὲ κάλλιστος κ. τ. λ.] δεσμῶν δὲ κάλλιστος (ex correct. rec., antea, credo, δεσμὸν — κάλλιστον) ὁ τρίτος, αὐτόν τε καὶ τὰ ξυνδεδεμένα ὅτι μάλιστα ἓν ποιεῖ. τοῦτο δὲ πέφ. ἀναλ. καλῶς ὡς μάλιστα ἀποτελεῖν. D. 1. δεσμῶν δὲ κάλλιστος, ὃς ἑαυτόν τε καὶ τὰ ξυνδούμενα ὅτι μάλιστα ἓν ποιεῖ. τοῦτο δὲ πέφ. ἀναλογίαν κ. τ. λ. A. 1. Sic, omissis ἓν ποιῇ ὅτι μάλιστα. A. 3. δεσμῶν δὲ κάλλιστος τρίτος, ὃς ἂν — ξυνδ. ὅτι μάλιστα ἓν ποιεῖ. τοῦτο κ. τ. λ. A. 2. Apud Platonem est: δεσμῶν δὲ ὁ κάλλιστος, ὃς ἂν αὐτὸν καὶ τὰ ξυνδούμενα ὅτι μάλιστα ἓν ποιῇ. Valla: Sed vinculorum id est aptissimum atque pulcherrimum.

πέφυκεν ἀναλογία] Ellebodius πέφυκε reddidit, *nata est*, quod quodammodo obscurum est. Editor Oxoniensis correxit, *poterit*. Πέφυκε multoties est, *solet*, *potest*, *aptum est*, proprie, *a natura*, *a nativitate*.

κάλλιστα ἀποτελεῖν] μάλιστα ἀποτελεῖν. A. 2.

τὰ μέσα δύο] τὰ μέσα, ἐπειδὰν τὰ μέσα δύο. A. 2.

ἐξ ἀναλογίας] μετὰ ἀναλογίας. D. 1.

οἱ μὲν γὰρ ἄλλοι σχεδὸν] Ita a rec. correct. Antea: ἄλλοι μὲν γὰρ σχεδόν. D. 1. Paullo post: φάσκουσι γενέσθαι. A. 3.

τὸν οὐρανὸν καὶ τὴν γῆν] His addunt: ἐπειδὴ μωσῆς φησιν· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. D. 1. A. 2. 3. Sic, sed μωϋσῆς. A. 1. Ita quoque Ox. ex MSS. restituit, sed: ἐπεὶ μωϋσῆς — ἐποίησε Θεὸς κ. τ. λ. ἐπειδὴ μωσῆς ἔφη· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. M. 1. Habent etiam haec Cono et Valla. Sed hic in principio habet: *Nam Moyses inquit*. Exciderant ob duplex γῆν. Nam et Ellebodius habet in versione.

Μωϋσῆς οὐκ ἐμνημόνευσεν ἐν τῇ γενέσει τοῦ κόσμου, ὡς γενομένης· ἐν δὲ τῷ Ἰὼβ εἴρηται· ὁ ποιήσας τὴν ἄβυσσον· ἐκ ταύτης οὖν, ὡς ἐξ ὕλης, βούλεται τὰ ἄλλα πάντα γεγενῆσθαι· οὐ μὴν ἀγέννητον, ἀλλὰ γενητὴν αὐτὴν εἶναι, πρὸ πάντων τῶν σωματικῶν προκαταβεβλημένην ὑπὸ τοῦ δημιουργοῦ πρὸς τὴν τῶν ἄλλων ὑπόστασιν· δηλοῖ δὲ καὶ τοὔνομα τῆς ἀβύσσου τὸ τῆς ὕλης ἄπειρον. ἀλλὰ τοῦτο μὲν, ὅπως ἂν ἔχοι, οὐδὲν διαφέρει. καὶ οὕτω γὰρ πάντων ὁ θεὸς θεὸς καὶ δημιουργὸς δείκνυται, καὶ ἐξ οὐκ ὄντων πε- 74
ποιηκὼς τὰ πάντα. πρὸς δὲ τοὺς ἓν μόνον λέγοντας εἶναι στοιχεῖον, ἢ τὸ πῦρ, ἢ τὸν ἀέρα, ἢ τὸ ὕδωρ, ἀρκέσει τὰ

VAR. LECT. ET ANIMADV.

μώσῆς, vitiose] μωσῆς. D. 1. μωϋσῆς. A. 1: Ox. Paullo ante δὲ, loco γάρ. Con. Vall.

ὡς γεγενημένης] ὡς γενομένης. D. 1. A. 1. 2. 3. *genitae*. Con. Vall. Continuo Valla: *Licet in Job secundo dicatur.*

τὰ ἄλλα] τ᾽ἄλλα. Sic. Sed ex correct. rec. est circumflexus. D. 1.

ἀγέννητον — αὐτὴν] ἀγένητον, ἀλλὰ γενητὴν αὐτὴν εἶναι. A. 1. 2. ἀγένητον habet etiam D. 1. A. 3. Deinceps valde aberrat a Graeco Valla.

αὐτὴν πρὸ πάντων τῶν] τὴν et τῶν abest. A. 3.

τῶν σωματικῶν] τῶν σωμάτων. D. 1. *corpora*. Vall.

προκαταβεβλημένην κ. τ. λ.] προκαταβεβληκέναι ταύτην φησὶν τὸν δημιουργόν. M. 1.

ὑπὸ τοῦ δημιουργοῦ κ. τ. λ.] ὑπὸ τοῦ θεοῦ βούλεται πρὸς τὴν τῶν. A. 2. Proxima corrupta sunt apud Con.

καὶ τοὔνομα] καὶ τὸ ὄνομα. D. 1. Paullo ante malim δηλοῦν, loco δηλοῖ. Sunt enim verba Apolinarii, ut arbitror, non Nemesii.

ὅπως ἂν ἔχοι] ὅπως ἂν ἔχῃ. D. 1. A. 2.

διαφέροι· καὶ γὰρ κ. τ. λ.] διαφέρει. καὶ οὕτως γὰρ πάντων ὁ θεὸς θεὸς καὶ δημιουργός. D. 1. καὶ οὕτω γὰρ πάντων exhibent etiam A. 1. 2. Διαφέρει habet etiam A. 3. Alterum θεὸς καὶ omittunt Con. Vall.

καὶ ἐξ οὐκ ὄντων] καὶ abest. D. 1. Vall. Mox, λέγοντας εἶναι τὸ στοιχεῖον. D. 1. A. 2. Deinde, ἀρκέσειε. D. 1. Post στοιχεῖον addit γῆν. Con. Sed non opus est. Nam inferius memoratur solum *aqua*, *aër et ignis*.

παρὰ Ἱπποκράτους εἰρημένα· „εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέ„ποτε ἂν ἤλγεεν· οὐδὲ γὰρ ἂν ἦν, ὑφ᾽ οὗ ἀλγήσειεν, ἓν „ὤν· εἰ δὲ καὶ ἤλγεεν, ἓν ἂν ἦν τὸ ἰώμενον. δεῖ γὰρ τὸ „μέλλον ἀλγεῖν, ἐν μεταβολῇ γενέσθαι μετ᾽ αἰσθήσεως· „εἰ δὲ ἓν μόνον ἦν τὸ στοιχεῖον, οὐκ ἦν, εἰς ὃ μεταβλη„θείη· μὴ τρεπόμενον δὲ, ἀλλὰ μένον ἐφ᾽ ἑαυτοῦ, οὐκ ἂν „ἤλγησεν, εἰ καὶ αἰσθητὸν ἦν· ἀνάγκη δὲ καὶ τὸ πάσχον „ὑπό τινος πάσχειν· εἰ δὲ μόνον ἓν ἦν τὸ στοιχεῖον, οὐκ „ἦν ἂν ἑτέρα ποιότης παρὰ τὴν τοῦ ἑνὸς στοιχείου, ὑφ᾽ „ἧς ἔπαθεν ἂν τὸ ζῶον· εἰ δὲ μήτε μεταβληθῆναι, μήτε „παθεῖν ἠδύνατο, πῶς ἂν ἤλγησε;" δείξας οὖν τοῦτο ἀδύνατον, κατὰ συγχώρησιν ἐπάγει· εἰ δὲ καὶ ἤλγεεν, ἓν ἂν

VAR. LECT. ET ANIMADV.

εἰ ἓν ἦν ὁ ἄνθρωπος] ὁ abest. A. 1.

οὐδέποτε ἂν ἤλγεεν] οὐδέποτε ἂν ἀλγήσειεν. Ox. Primum ε in ἤλγεεν ex correct. D. 1. Et sic bis deinceps. Bis ἤλγεσεν, hic et paullo post. A. 3. Mox, ἀφ᾽ οὗ, loco ὑφ᾽ οὗ. M. 1. et idem mox: εἰ δὲ καὶ ἤλγειεν.

οὐδὲ γὰρ ἂν ἦν] ἂν abest. A. 2. 3. Ab οὐδὲ γὰρ ad ἤλγεεν addita sunt a man. rec. cum aliqua varietate, quam hic notavi. D. 1. Sic ergo: οὐδὲν γὰρ ἦν ὑφ᾽ οὗ ἀλγήσειεν ἓν ὤν. εἰ δὲ καὶ ἤλγειεν (sed syllabae ει inscriptum ε).

ἓν ὤν] ἓν ὄν. A. 1, 2. Continuo εἰ δὲ καὶ — ἰώμενον omittit Vall.

ἰώμενον] hic rursus a man. rec. additum; ἢ πῶς ἂν ἤλγεεν, εἰ ἓν ἦν τὸ στοιχεῖον. Deinde μεταβληται, loco μεταβληθείη. M. 1.

οὐκ ἂν ἤλγησεν] οὐκ ἂν ἀλγήσειεν. Ox.

πάσχειν· εἰ δὲ ad ποιότης] absunt. A. 1. Vall.

εἰ δὲ μόνον ἓν] ἓν abest. A. 2. 3. Mox, deest τὸ, ante στοιχεῖον, et τοῦ, ante ἑνός. M. 1. et deinde, παρὰ τῆς τοῦ ἑνὸς στοιχείου. A. 2. Mox post ζῶον addit Valla: essentiam, aliud esse.

εἰ δὲ μήτε μεταβληθῆναι] μετα insertum a rec. D. 1. Mox ἐδύνατο. A. 1. 2.

ἐπάγει· εἰ δὲ καὶ ἤλγεεν] Sic, sed syllabae ει in ἐπάγει inscriptum η, et primum ε in ἤλγεεν ex correct. D. 1. Ἤλγησεν hic exhibet A. 3. κατὰ συγχώρησιν ἐπάγει, Valla reddidit; *fateri cogit*. Et, τὸ ἰώμενον, *quod dolorem incutiat*. Ac si legerit, τὸ ἀνιῶν. Proximum τὸ ἰώμενον prorsus omisit.

ἦν τὸ ἰώμενον· νῦν δὲ οὐκ ἔστιν ἓν τὸ ἰώμενον, ἀλλὰ πολλά· οὐκ ἄρα ἓν ἦν ὁ ἄνθρωπος. ἀλλὰ καὶ, ἐξ ὧν αὐτοὶ πειρῶνται τὸ ἴδιον ἕκαστος κατασκευάζειν δόγμα, ἐκ τούτων μάλιστα δείκνυται τέσσαρα ὄντα τὰ στοιχεῖα. καὶ γὰρ Θαλῆς τὸ ὕδωρ μόνον λέγων εἶναι στοιχεῖον, πειρᾶται δεικνύειν τἄλλα τρία ὑπὸ τούτου γινόμενα. τὴν μὲν γὰρ ὑποστάθμην αὐτοῦ γῆν γίνεσθαι· τὸ δὲ λεπτομερέστερον ἀέρα· τοῦ δὲ ἀέρος τὸ λεπτομερέστερον πῦρ. Ἀναξιμένης δὲ ἀέρα μόνον λέγων, καὶ αὐτὸς ὁμοίως πειρᾶται δεικνύναι, τὰ ἄλλα στοιχεῖα ἐκ τοῦ ἀέρος ἀποτελούμενα· Ἡράκλειτος δὲ καὶ Ἵππασος, ὁ μεταποντῖνος, τὸ πῦρ λέγοντες, ταῖς αὐταῖς

VAR. LECT. ET ANIMADV.

ἐξ ὧν αὐτοὶ] αὐτοὶ reddidit, *finguli*. Vall.

δ. ὄντα στοιχεῖα] τέσσαρα ὄντα τὰ στοιχεῖα. D. 1. A. 1. M. 1. Sic, fed τὰ στοιχεῖα a man. rec. A. 2. Mox, Θάλης. D. 1.

Θαλῆς] Idem de hoc refert Eufeb. Praep. Evang. p. 22. B. et p. 747. D. ex Plutarcho.

πειρᾶται δεικνύειν τ' ἄλλα] πειρᾶται δεικνῦναι τἄλλα. Sed ύ antea, nunc ῦ, et accentus in τἄλλα a man. rec. D. 1. πειρᾶται δεικνῦναι τὰ ἄλλα. A. 1. πειρ. δεικνύειν τὰ ἄλλα. A. 2. πειρᾶται δεικνύναι. A. 3. Mox, ὑπὸ τούτου. A. 1. 2. D. 1. M. 1.

ὑποστάθμην] Sic Stoici reliquorum elementorum ὑποστάθμην appellarunt terram. Diog. Laërt. pag. 284. Vide etiam Fifcherum ad Plat. Phaedonem p. 458. nota 35.

τὸ δὲ λεπτομερέστερον] αὐτοῦ addit A. 1.

τὸ λεπτομερέστερον πῦρ] τὸ λεπτομερέστερον τὸ πῦρ εἶναι. M. 1. De Anaximene vid. Eufeb. Praepar. Evang. p. 22. D. et p. 748. D.

καὶ αὐτὸς ὁμοίως πειρᾶται] καὶ αὐτὸς πειρᾶται ὁμοίως. A. 2. Mox δεικνῦναι τὰ ἄλλα. A. 1. δεικνύναι τἄλλα. Rurfus circumflexus ex correct. D. 1.

ἡράκλητος] ἡράκλειτος. A. 1. 2. ἡράκλητος et ex corr. ει. D. 1.

ὁ μεταποντῖνος] μεταποντῖνος ex corr., antea μεταποντινός. D. 1. μεταποντινός. A. 2. Hipparchus Ponticus. Con. Hipparchus Metapontinus. Vall. Plutarch. de placit. philofoph. I, 3. p. 877. et Eufebius Praeparat. Evang. p. 748. eadem haec referentes, habent: ἡράκλειτος καὶ ἵππα-

ταύταις ἀποδείξεσι κέχρηνται. ἐξ ὧν τοίνυν καὶ οὗτοί φασί, τὸ πῦρ εἶναι τῶν ἄλλων στοιχείων γεννητικὸν, καὶ τῶν ἄλλων ὁ μὲν, τὸ ὕδωρ, ὁ δὲ, τὸν ἀέρα, ἐκ τούτων δείκνυται, ὅτι πάντα τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεται· πάντων δὲ εἰς ἄλληλα τρεπομένων, ἀνάγκη, τὰ πάντα στοιχεῖα εἶναι. ὅπερ γὰρ ἂν λάβῃς τῶν τεσσάρων, εὑρεθήσεται καὶ τοῦτο ὑφ' ἑτέρου γινόμενον. τὸ δὲ σῶμα τῆς ψυχῆς ὄργανον ὑπάρχον, ταῖς ψυχικαῖς δυνάμεσι συνδιαιρεῖται. ταύταις γὰρ πρόσφορόν τε καὶ ἐπιτήδειον κατεσκεύασται, πρὸς τὸ μηδεμίαν αὐτῆς δύναμιν ὑπὸ τοῦ σώματος ἐμποδίζεσθαι. ἑκάστη γὰρ ψυχικῇ δυνάμει πρὸς τὴν ἐνέργειαν ἴδια μέρη τοῦ σώματος ἀποκεκλήρωται, ὡς προϊὼν ὁ λόγος ἀπο-

VAR. LECT. ET ANIMADV.

ἵππασος ὁ μεταποντῖνος. Adde Ariſtot. Metaphyſ. I, 3. Ergo loco ἵππαρχος, correxi ἵππασος. De Hippaſo vide Menagium ad Diog. Laërt. p. 387. 388. et Sext. Empir. p. 135. 620. 684. edit. Fabric.

ταῖς αὐταῖς ταύταις] ταύταις abeſt. D. 1. Forte ſcripſerat τούτοις, ut referretur ad Thaletem et Anaximenem. Mox, καὶ αὐτοί φασι. D. 1. Sic paullo ante: ἐξ ὧν αὐτοὶ πειρῶνται. Sed hic ad ſolum Heraclitum et Hippaſum pertinet.

τὸ πῦρ εἶναι] τὸ πῦρ ἦν. M. 1.

ὁ μὲν τὸ ὕδωρ] ὁ μὲν τὸ πῦρ, ſed a rec. ſupra ſcriptum ὕδωρ. A. 2. Ὁ μὲν τῶν ἄλλων eſt Thales, et ὁ δὲ, Anaximenes.

ἀνάγκη στοιχεῖα τὰ πάντα εἶναι] ἀνάγκη πάντα στοιχεῖα εἶναι. D. 1. ἀνάγκη τὰ πάντα στοιχεῖα εἶναι. A. 1. Mox, ὅπερ ἂν λάβῃς. D. 1. A. 2. Mox poſt τεσσάρων, addit στοιχείων. M. 1.

ὑφ' ἑτέρου γινόμενον] Hic, omiſſis reliquis ad finem capitis, terminat caput. Continuo autem ſubjungit indicem capitis ſexti, absque numero tamen. D. 1. Ad caput de elementis haec certe non pertinent. Habent autem ſpeciem praefationis, pertinentis ad caput proximum. Apud Con. hic incipit liber 4. De viribus ſeu poteſtatibus animae. cap. 1. De quinque ſenſoriis et definitione ſenſus.

ἑκάστη γὰρ ψυχικῇ] ἑκάστη γοῦν ψυχικῇ. A. 1. Non male. ἑκάστη οὖν ψυχικῇ. A. 2. ἑκάστη γοῦν ψυχικὴ δύναμις πρός. A. 3. Mox ἐπιδείξει, loco ἀποδείξει. A. 2. δείξει habet A. 3. *Indicabit.* Con. *Oſtendet.* Vall.

δείξει. ἡ μὲν γὰρ ψυχὴ τάξιν ἐπέχει τεχνίτου· τὸ δὲ σῶμα ὀργάνου· ὕλη δέ ἐστι, περὶ ἃ ἡ πρᾶξις· τὸ δὲ ἀποτέλεσμα, ἡ πρᾶξις αὐτή. (οἷον, ὡς ὕλη μὲν ὑπόκειται ἡ γυνή· περὶ ταύτην γὰρ ἡ πρᾶξις· ἡ δὲ πρᾶξις, μοιχεία ἢ πορνεία, ἢ γάμος.) διαιροῦνται δὲ αἱ ψυχικαὶ δυνάμεις εἴς τε τὸ φανταστικὸν καὶ διανοητικὸν καὶ μνημονευτικόν.

ΚΕΦ. ς.

ΠΕΡΙ ΤΟΥ ΦΑΝΤΑΣΤΙΚΟΥ.

Φανταστικὸν μὲν οὖν ἐστι δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα· φανταστὸν δὲ, τὸ τῇ φαντασίᾳ ὑποπίπτον, ὡς αἰσθήσει αἰσθητόν· φαντασία δέ ἐστι πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινος γινόμενον·

VAR. LECT. ET ANIMADV.

τὸ δὲ ἀποτέλεσμα ἡ πρᾶξις] absunt. A. 1. Vall. Vicina, ab οἷον ὡς ὕλη ad γάμος, tanquam inepta, malim omittere. Servat tamen etiam Con. et Vall. Post haec vero Cono statim transit ad p. 76. verba: ἔστι δὲ αἰσθητήρια μὲν πέντε. Haec vero, quae hic omittit, addit p. 91. ante cap. 12. Apud Ellebodium h. l. est quaedam obscuritas, quod vocabulum οἷον reddidit *quemadmodum*, loco *veluti*, *exempli caussa* etc.

περὶ ταύτην γὰρ] περὶ ταῦτα γάρ. M. 1.

Cap. 6. περὶ τοῦ φανταστικοῦ] Ita A. 1. et A. 2. Sed hic a man. rec. M. 1. loco κεφ. ς. habet λόγος ε. D. 1. vero ita: περὶ τῶν ψυχικῶν δυνάμεων, τοῦ φανταστικοῦ, τοῦ διανοητικοῦ καὶ τοῦ μνημονευτικοῦ. περὶ τοῦ φανταστικοῦ. Refert autem haec ad caput quintum. Certe numerus capitis abest. Confer hunc locum cum Jo. p. 183. B. Valla: De imaginario. Cap. 6.

ἀλόγου ψυχῆς] irrationalis *partis* animae, *quae et sensus dicitur*, per *sensus corporeos* agens. Con. irrationalis animae vis sese per *sensus* exercens. Paullo post, διενεργοῦσα. M. 1.

φανταστὸν δὲ] Sic ex rasura. Antea φανταστικόν. D. 1.

ὡς αἰσθήσει αἰσθητὸν] ὡς αἴσθησις καὶ αἰσθητόν. A. 1. *Sicut sensus et sensibile*. Vall. Cono addit: *Et visui visibile*.

76 Φάντασμα δὲ πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς μέρεσιν ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον. οἱ δὲ στωϊκοὶ τέσσαρα ταῦτά φασι, φαντασίαν, φανταστὸν, φανταστικὸν, φάντασμα· φαντασίαν μὲν λέγοντες, τὸ πάθος τῆς ψυχῆς τὸ ἐνδεικνύμενον αὑτό τε καὶ τὸ πεποιηκὸς φανταστόν. ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἐκ τῆς λήψεως αὐτοῦ. ὡς γὰρ ἐν τοῖς αἰσθητηρίοις ἐγγί-

VAR. LECT. ET ANIMADV.

ψυχῆς μέρεσιν ὑπ' οὐδενὸς] ἀπ' loco ὑπ'. D. 1. A. 1. 2. 3. μέρεσιν a rec. additum. A. 2. Omittit hoc vocabulum. M. 1. Mox, γενόμενον. A 3. et, στωϊκοὶ et φασὶ, ſed ω et α ex correct. D. 1.

φαντασία, φανταστὸν]. φαντασίαν, φανταστόν. D. 1. A. 1. 2. 3. Vall.

τὸ ἐνδεικνύμενον αὑτό,τε καὶ τὸ] τὸν ἐνδειχ. ἐν ἑαυτῷ καὶ τό. D. 1. M. 1. τὸ ἐν ἑαυτῷ ἐνδειχ. καὶ τό. A. 1. 3. Sic, ſed ἑαυτῷ ex corr., antea erat αὐτῷ. Et mox πεποιηκώς. A. 2. Animae paſſionem *intra ſe demonſtratam quaeque imaginatum efficiat.* Vall. *quae* (animi paſſio) *in ipſa monſtratur* (ſic correxi, loco *moratur.* Legit autem, ἐν αὐτῇ.) *et facit imaginabile.* Con. Apud Plutarch. de placit. philoſoph. IV, 12. qui haec Chryſippo tribuit, eſt quidem ἑαυτῷ, et in Cod. Moſq. ἐν αὐτῷ, ſed nihil muto. Nam ibidem mox eſt: δείκνυσιν ἑαυτὴν καὶ τὸ πεποιηκὸς αὐτήν. Ergo hic αὑτὸ accipitur pro ἑαυτὸ, et ἐνδεικνύμενον eſt Medium. Nihilo minus tamen Paſſive accipi poteſt: *Affectionem mentis ipſam, quae monſtratur, quae offertur*, nimirum, *menti.* Sed prius magis probo. Ἐν ἑαυτῷ ad nihil aliud referri poteſt, quam ad πάθος, quod nemo facile probabit. Chryſippus ſecundum alios φαντασίαν definiit, τύπωσιν ἐν τῇ ψυχῇ. vid. Diog. Laërt. p. 255. Sic etiam eſt apud Philonem p. 234. A.

καὶ τὸ πεποιηκὸς φανταστὸν] i. e. καὶ τὸ φανταστὸν τὸ πεποιηκὸς τὸ πάθος, ἤγουν τὴν φαντασίαν.

ὅταν γὰρ λευκὸν] δὲ, loco γάρ. A. 2. Mox, ἐγγίγνεται. Prius γ̄. ex correct. D. 1. et, τῆς ψυχῆς, loco τῇ ψυχῇ. M. 1. Ἐκ τῆς λήψεως αὐτοῦ, id eſt, ἐκ τῆς ὁράσεως τοῦ λευκοῦ. Paullo poſt: ὡς ὅταν αἰσθάνηται, οὕτω. A. 3. Mox, εἰκόνας γὰρ ἐν αὐτῇ. Idem.

ἐν τοῖς αἰσθητηρίοις] *in ſenſibus.* Vall. Mox idem: imaginationem efficiens *ſenſibilem.* Legit ergo αἰσθητήν. Male. Mox,

νεται πάθος, ὅταν αἰσθάνηται· οὕτω καὶ ἐν τῇ ψυχῇ, ὅταν ἐννοήσῃ. εἰκόνα γὰρ ἐν ἑαυτῇ δέχεται τοῦ νοητοῦ. Φανταστὸν δὲ, τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθητὸν, οἷον τὸ λευκὸν καὶ πᾶν ὅ,τι δύναται κινεῖν τὴν ψυχήν· Φανταστικὸν δὲ, τὸν διάκενον διελκυσμὸν ἄνευ φανταστοῦ· Φάντασμα δὲ, ᾧ ἐφελκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμὸν, ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχολώντων. ἡ δὲ διαφωνία τούτοις περὶ τὴν ἐναλλαγὴν μόνην γέγονε τῶν ὀνομάτων. ὄργανα δὲ αὐτοῦ αἱ πρόσθιοι τοῦ ἐγκεφάλου κοιλίαι, καὶ τὸ ἐν αὐταῖς ψυχικὸν πνεῦμα, καὶ τὰ ἐξ αὐτῶν νεῦρα, τὰ διάβροχα τῷ ψυχικῷ πνεύματι, καὶ ἡ κατασκευὴ

VAR. LECT. ET ANIMADV.

Mox, loco ἐν τῇ ψυχῇ, ὅταν, M. 1. habet: ἐν ταῖς τῆς ψυχῆς δυνάμεσιν, ὅταν αὐτὴ ψυχή. Idem paullo poſt, loco φανταστὸν δὲ τὸ, habet: πεποιηκὼς δὲ τὴν φαντασίαν φανταστόν.

οἷόν τι λευκὸν καὶ πᾶν ὅτι δύναται] οἷον τὸ λευκὸν, καὶ πᾶν ὃ δύναται. D. 1. A. 3. οἷον τὸ λευκὸν καὶ πᾶν ἅ,τι δύναται. A. 1. Sic, ſed ὃ δύναται. A. 2. Ut album *aliquod* et *prorſus* omne. Vall.

διάκενον διελκυσμὸν ἄνευ φανταστοῦ] διακείμενον, loco διάκενον, ſed in marg. γρ. διάκενον. A. 2. φανταστικοῦ, loco φανταστοῦ, ſed ante ἄνευ duae aut tres litterae deletae. Forte τοῦ. D. 1. Apud Plutarch. l. l. eſt ἑλκυσμός.

ᾧ ἐφελκόμεθα κατὰ τὸ] ᾧ ἐφέλκομεν κατὰ τό. D. 1. ὡς ἐφελκόμενον τὸν κατὰ τό. A. 1. ὃ (ex correct. ὡς.) ἐφελκόμενον κατὰ τό. A. 2. ὃ ἐφέλκομεν in marg. Ant. Sic in textu. M. 1. A. 3. Apud Plutarch. ἐφ' ὃ ἑλκόμεθα κατὰ τόν. Huic non diſſimile eſt, ᾧ ἐφελκόμεθα. Cono: Phantaſma autem, vanam et inanem conceptionem, quam per imaginationem haurimus. Valla: Imago eſt velut abſtractum per imaginarium inanis attractio.

μεμηνότων] Ut Oreſtes in tragoedia. vid. Plutarch. l. l. Mox, μελαγχολούντων. A. 3.

ἡ δὲ διαφωνία] δὲ abeſt. A. 2. Proximum τούτοις, quod Valla omittit, refertur ad Stoicos.

ὄργανα δὲ αὐτοῦ] αὐτοῦ ad nihil aliud referri poteſt, quam ad φανταστικὸν in principio capitis. Sed id ſane nimis remotum.

καὶ τὸ ἐν αὐταῖς ψυχικὸν] αὐτοῖς, loco αὐταῖς. D. 1.

τὰ ἐξ αὐτοῦ νεῦρα] τὰ ἐξ αὐτῶν νεῦρα. A. 1. 2. 3. Αὐτοῦ nul-

lo

τῶν αἰσθητηρίων. ἔστι δὲ αἰσθητήρια μὲν πέντε· αἴσθησις δὲ μία, ἡ ψυχικὴ, ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων τὰ ἐν αὐτοῖς γινόμενα πάθη· καὶ τῷ μὲν γεωδεστάτῳ καὶ σωματικωτάτῳ τῶν αἰσθητηρίων, ὅπερ ἐστὶν ἡ ἀφὴ, τῆς γεώδους φύσεως αἰσθάνεται· τῷ δὲ αὐγοειδεστάτῳ, ὅπερ ἐστιν ἡ ὄψις, τῶν αὐγοειδῶν· ὡς καὶ τῷ ἀεροειδεῖ τῶν τοῦ

VAR. LECT. ET ANIMADV.

lo modo ſanum. Nec enim ad πνεῦμα, ſed ad κοιλίαι referendum. Utcunque tamen ferri poſſit, ſi referatur ad ἐγκέφαλος. Cono ita: et horum animalis ſpiritus et nervi ab eodem ſoti atque apta ſenſoriorum compages. Ceterum poſt haec Cono ſtatim tranſit ad pag. 91. cap. 12. Τοῦ μὲν οὖν φανταστικοῦ. Atque ita ſane bene haec cohaerent. Valla: Et nervi *ex ipſis* animali ſpiritu humecti. Poſt haec apud Vallam quaedam exciderunt.

αἰσθητήρια ε.] αἰσθητήρια μὲν πέντε. D. 1. A. 2. 3. Mox, μία ἡ ψυχικὴ ἡ γνωρ. D. 1. A. 2. 3. M. 1. Mox omittit ὅπερ ἐστὶν, ante ἡ ἀφή. M. 1. ac deinde, τῆς δὲ γεώδους φύσεως. A. 2. Senſus vero unus omnium, qui — cognoſcit. Cono. Valla his prorſus caret.

τῷ δὲ αὐγδειδεστάτῳ] Cono: in ὠοειδεία vero et omnium clariſſimo viſu ὠοειδεα. Ergo ante αὐγοειδεστάτῳ aliud etiam vocabulum invenit, uti antea et poſtea de tactu et guſtu duo quoque ſunt epitheta. Sed ὠοειδὴς, *ovi formam habens*, (quo utitur Plutarch. T. II. p. 886. C. et Diog. Laërt. p. 409.) non eſt hujus loci. Conjicio ergo: τῷ δὲ φωτοειδεστάτῳ καὶ αὐγοειδεστάτῳ. Apud Diog. Laërt. p. 291. de viſu eſt κωνοειδής. Sed et hoc alienum. Valla ita: quae autem perſpicua ſunt, ab omnium perſpicuiſſimo viſu.

ὄψις τῶν αὐγοειδῶν] ὄψις τῶν αὐγοειδεστάτων. A. 2.

ὡς καὶ τῷ ἀερώδει] ἀεροειδεῖ, loco ἀερώδει. D 1. ἀερωειδεῖ, vitioſe, loco ἀεροειδεῖ. A. 3. Utrumque vocabulum in uſu eſt. Sed ut mox eſt σπογγοειδεῖ et ὑδατοειδεῖ, ita hic quoque praeferendum videtur ἀεροειδεῖ. Ceterum hic videtur deeſſe alterum epitheton et nomen *ſenſus*, qui hic notatur, nimirum ἀκοή. Cono: In aëriformi *ſcilicet auditu* aëris paſſiones. Conjici poſſit, ὡς καὶ τῷ χονδρώδει καὶ ἀεροειδεῖ, τῷ κατὰ τὴν ἀκοὴν, τῶν τοῦ ἀέρος. Vide infra p. 90. Χονδροειδὴς non legi. Neque tamen contrarium eſt linguae Graecae. Sed auris non eſt χονδροει-

ἀέρος παθημάτων· ἀὴρ γάρ ἐστιν ἡ τῆς φωνῆς οὐσία ἢ 77
ἀέρος πληγή· καὶ τῷ σπογγοειδεῖ δὲ καὶ ὑδατοειδεῖ, τῷ κατὰ τὴν γεῦσιν, τῶν χυμῶν ἀντιλαμβάνεται. ἕκαστον γὰρ τῶν αἰσθητῶν διὰ τοῦ οἰκείου γνωρίζεσθαι πέφυκεν. ἔδει τοίνυν κατὰ τοῦτον τὸν λόγον, ἐπειδὴ τέσσαρα στοιχεῖα, τέσσαρας εἶναι καὶ τὰς αἰσθήσεις· ἀλλ' ἐπειδήπερ ὁ ἀτμὸς καὶ τὸ τῶν ἐσμῶν γένος μεταξὺ τὴν φύσιν ἐστὶν ἀέρος καὶ ὕδατος· ἀέρος μὲν γάρ ἐστι παχυμερέστερος, ὕδατος δὲ λεπτομερέστερος· δῆλον δὲ γίνεται τὸ τοιοῦτον διὰ τῆς κορύζης, τοῦ πάθους· οἱ γὰρ κορυζῶντες ἕλκουσι μὲν τὸν ἀέρα διὰ τῆς ἀναπνοῆς· ἕλκοντες δὲ τοῦτον, τῶν ἀτμῶν οὐκ ἀντιλαμβάνονται· διὰ γὰρ τὴν ἔμφραξιν τὸ παχυμερέστερον οὐκ ἀφικνεῖται πρὸς τὴν αἴσθησιν· τούτου χάριν πέμπτον αἰσθητήριον, ἡ ὄσφρησις, ὑπὸ τῆς φύσεως ἐξεύρηται, ἵνα μηδὲν τῶν δυναμένων εἰς γνῶσιν ἐλθεῖν διαφύγῃ τὴν αἴσθησιν. ἔστι δὲ ἡ αἴσθησις οὐκ ἀλλοίωσις, ἀλλὰ διάγνωσις

VAR. LECT. ET ANIMADV.

δροειδὴς, verum χονδρώδης. Valla: Sicut ab aërofo (ergo ἀερώδει) aëris paſſiones. Sed idem mox habet etiam *ſpongioſo*, *aquoſo*. M. 1. ἀερωδοτῶν loco ἀερώδει τῶν.

τῶν τοῦ ἀέρος παθημάτων] his additur in marg. a man. rec. διὰ τῆς ἀκοῆς. D. 1.

σπογγοειδεῖ δὲ] δὲ abeſt. A. 2. Mox, τὸ κατὰ τὴν γεῦσιν. D. 1. Σπογγοειδὲς habet Erotianus in Gloſſis Hippocratis p. 44. ὑδατοειδὲς eſt apud Diog. Laërt. p. 420.

ἀλλ' ἐπειδήπερ] ἀπόδοσις infra eſt, τούτου χάριν. Mox τὴν φύσιν, id eſt, κατὰ τὴν φύσιν.

τὸ τῶν ὀσμῶν γένος] τὸ τῶν ὀδμῶν γένος. D. 1. Mox, δῆλον δὲ γίνεται τὸ τοιοῦτο. D. 1. Paullo ante Cono: παχυμερέστερον exiſtit, aqua vero tenuius. Παχυμερέστερον, neutro genere, habet etiam A. 3. Sed idem mox exhibet λεπτομερέστερος. Certe conſtare ſibi debebat in utroque loco. Antecedunt enim ὁ ἀτμὸς, et, τὸ γένος.

κορυζῶντες] κορύζοντες. A. 2.

τὸν ἀτμὸν οὐκ ἀντιλαμβάνονται] τῶν ἀτμῶν οὐκ ἀντ. D. 1. A. 1. 2. 3. οὐ καταλαμβάνονται, loco οὐκ ἀντιλαμβ. M. 1. Cono: vapores tamen et odores nequaquam ſentiunt. Ergo addit, δὲ καὶ ὀδμῶν.

ἐξεύρηται] ἐξηύρυται. D. 1. Sic, ſed ex correct. ευ. A. 2.

ἀλλοιώσεως. ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις. καλεῖται δὲ πολλάκις αἴσθησις καὶ τὰ αἰσθητήρια. ἔστι δὲ αἴσθησις, ἀντίληψις τῶν αἰσθητῶν. δοκεῖ δὲ οὗτος ὁ ὅρος οὐκ αὐτῆς εἶναι τῆς αἰσθήσεως, ἀλλὰ τῶν ἔργων αὐτῆς. διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴσθησιν, πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. ἔτι δὲ καὶ οὕτω, δύναμιν ψυχῆς ἀντιληπτικὴν τῶν αἰσθητῶν· αἰσθητήριον δὲ, ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. Πλάτων δὲ τὴν αἴσθησιν λέγει, ψυχῆς καὶ

VAR. LECT. ET ANIMADV.

τὰ αἰσθητήρια] Cono: *αἱ αἰσθήσεις*. Mox idem omittit ab διακρίνει ad καὶ τὰ αἰσθητήρια. Ante τὰ αἰσθητήρια, omittit γάρ. A. 3.

καλεῖται δὲ πολλάκις αἴσθησις] ἡ, ante αἴσθησις, addit A. 2.

οὐκ αὐτῆς εἶναι τῆς αἰσθήσεως] οὐ κατ' αὐτῆς εἶναι τῆς αἰσθ. D. 1. οὐκ αὐτῆς τῆς αἰσθήσεως εἶναι. A. 3.

τῶν ἔργων αὐτοῦ] τῶν ἔργων αὐτῆς. D. 1. A. 2. 3. τῶν ἔργων αὐτῶν. M. 1. Cono: *operationum*. Forte, ἐνεργειῶν.

πνεῦμα νοερὸν] Cono: ſpiritus cognitivus et diſcretivus. Forte, νοητικὸν καὶ διακριτικόν. Mox idem ἡγεμονικὸν explicat, *ſcilicet cerebro*. Loco τεταμένον vero habet τεταγμένον, *ordinatus*.

τεταμμένον. ἔτι δὲ] τεταγμένον. ἔστι δὲ. D. 1. τεταγμένον etiam habet, ſed correctum τεταμένον. A. 2. τεταμένον· ἔστι δὲ καὶ οὕτω, δύναμις ἀντιληπτικὴ τῶν. A. 3. *Protenſum*. Vall.

δύναμις ψυχῆς ἀντιληπτικὴ] δύναμιν ψυχῆς ἀντιληπτικήν. A. 1. 2. Vall. τῆς ſolum addit ante ψυχῆς. M. 1. Conſer Jo. p. 183. C. Cono: *materialium dijudicativa*.

αἰσθητήριον δὲ ὄργανον] ἐστιν, poſt δὲ, addit D. 1. A. 2. Ab αἰσθητήριον ad τῶν αἰσθητῶν omittit A. 3.

τῆς ἀντιλήψεως τῶν αἰσθητῶν] Cono addit etiam aliam definitionem: *Et item aliter: organum eſt membrum, per quod ſentimus.*

τὴν αἴσθησιν λέγει κ. τ. λ.] τὴν αἴσθησιν δυνάμεως καὶ ὀργάνου κοινωνίαν πρὸς τὰ ἐκτὸς (ὃς ex correct. rec. et continuo raſura ſublatae duae aut tres litterae) ὁρίζεται, τουτέστι ψυχῆς καὶ σώματος. ἡ γὰρ δύναμις κ. τ. λ. D. 1. Platonis et aliorum definitionem notat Plutarch. de placit. philoſoph. IV, 8. Vide etiam Diog. Laërt. p. 256. Καὶ σώματος omittit Vall.

σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ γὰρ δύναμις, ψυχῆς· 78
τὸ δὲ ὄργανον, σώματος· ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. τῶν δὲ ψυχικῶν τὰ μέν ἐστιν ὑπουργικά τε καὶ δορυφορικά· τὰ δὲ ἀρχικὰ καὶ ἡγεμονικά. ἀρχικὰ μὲν, τό,τε διανοητικὸν καὶ ἐπιστημονικόν· ὑπουργικὰ δὲ, τὰ αἰσθητικὰ καὶ ἡ καθ᾽ ὁρμὴν κίνησις καὶ τὸ φωνητικόν. καὶ γὰρ ἡ κίνησις καὶ ἡ φωνὴ ὀξύτατα καὶ σχεδὸν ἀχρόνως ὑπακούει τῇ βουλήσει τοῦ λογισμοῦ· ἅμα γὰρ καὶ κατὰ τὸ αὐτὸ θέλομέν τε καὶ κινούμεθα οὐδενὸς ἐπιδεόμενοι μεταξὺ χρόνου τῆς τε βουλήσεως καὶ τῆς κινήσεως, ὡς ἐπὶ τῆς κινήσεως τῶν δακτύλων ἐστὶν ἰδεῖν· καὶ

VAR. LECT. ET ANIMADV.

ἄμφω δὲ διὰ φαντασίαν] ἄμφω δὲ διὰ φαντασίας. D. 1. A. 1. 2. 3. ἀμφότερα, loco ἄμφω. M. 1. Phantasiam, id est, imaginationem. Con.

ψυχικῶν τὰ μὲν κ. τ. λ.] ψυχικῶν μερῶν τὰ μέν ἐστιν ὑπουργικὰ, τὰ δὲ ἀρχικὰ καὶ ἡγεμονικά. D. 1. ὑπουργικὰ exhibet etiam A. 3.. Ὑπουργικὸς est ex ὑπουργὸς, ut γεωργικὸς ex γεωργός· ὑπουργητικὸς autem est, ut ἐνεργητικός. Ceterum loco μερῶν, quod D. 1. addit, intelligo potius δυνάμεων. Cono interponit, *functionum*. Et mox, mutato ordine: ἀρχικαὶ καὶ ἡγεμονικαὶ, aliae autem inferiores et famulantes. Idem.

ὑπουργητικά τε καὶ δορυφορικά] ὑπουργικά τε καὶ δορυφορικά. A. 2. Sic, sed δοριφορικά. A. 1. δορυαλωτικά. Ant. in marg. Ita in textu. M. 1. *Satellitis locum obtinentia.* Vall.

διανοητικὸν καὶ ἐπιστημ. κ. τ. λ.] διανοητικὸν καὶ τὸ μνημονευτικόν. ὑπουργικὰ δὲ, τὰ αἰσθητήρια καὶ ἡ. D. 1. ὑπουργικὰ etiam A. 1. 2. ὑπουργικὰ δὲ τάτε αἰσθητ. A. 3. τὰ αἰσθητικὰ omittit M. 1. Servientes vero sensus ipsi et secundum locum motus. Con.

φωνητικὸν] φανταστικόν. D. 1. A. 3. Con. *Proclamatio.* Vall. Mox, καὶ γὰρ ἡ κίνησις κινουμένη ὀξύτατα καί. D. 1.

ὑπακούει τῇ βουλήσει] ἀκούει τῇ βουλήσει. A. 1. Mox, ἅμα γὰρ κατὰ τὸ αὐτό. A. 3. et, κινούμεθα μηδενὸς ἐπιδεόμενοι. A. 2. Voluntati obediunt. Nam intellectu simul et. Con. Retulit ergo ad proxime sequentia, sic: τῷ γὰρ λογισμῷ ἅμα. Valla ἐπιδεόμενοι inepte reddidit, *carentes.*

τῶν φυσικῶν δὲ ἔνια ὑπὸ τὴν ἡγεμονίαν ἐστὶ τοῦ διανοητικοῦ, ὡς τὰ καλούμενα πάθη.

ΚΕΦ. Ζ.

ΠΕΡΙ ΟΨΕΩΣ.

Ἡ ὄψις ὁμωνύμως λέγεται, καὶ τὸ αἰσθητήριον καὶ ἡ δύναμις ἡ αἰσθητική. Ἵππαρχος δέ φησιν, ἀκτῖνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν ἑαυτῶν, καθάπερ χειρῶν ἐπαφαῖς, καθαπτούσας τοῖς ἐκτὸς σώμασι, τὴν

VAR. LECT. ET ANIMADV.

φυσικῶν δὲ ἔνια] δὲ infertum a man. rec. D. 1. Haec ita Cono: Sed et naturalis quidem motus et quae paffiones vocantur, fub imperio excogitativi funt.

καλούμενα πάθη] Poft haec legitur in Cod. D. 1. continuo caput ιβ. περὶ τοῦ διανοητικοῦ et caput ιγ. περὶ τοῦ μνημονευτικοῦ. Sed caput 12. et 13. tanquam partes ad caput quintum referuntur. Vide indicem hujus capitis in hoc Codice. Capita ergo in hoc Codice numerantur omnino 42. Vulgaris ordo non videtur reprehendendus effe, quod difputatio περὶ τοῦ φανταστικοῦ arcte cohaeret cum difputatione de quinque fenfibus.

Cap. 7. Index idem. A. 1. Etiam in A. 2. fed a man. rec. D. 1. autem fic habet: περὶ τῶν πέντε αἰσθήσεων. περὶ ὄψεως. Eft autem hoc caput fextum in hoc Codice. περὶ ὄψεως. λόγος ζ. M. 1. De vifu. cap. 7. Vall. Cono incipit libri 4. cap. 2. De vifu, quomodo fiat.

καὶ γὰρ τὸ αἰσθητήριον καὶ ἡ δύναμις] γὰρ abeft. D. 1. Vall. ἡ omittit Ox. Mox, ἀκτῖνας ex correct., antea ἰ. Et fic paullo poft ἀκτῖνας et ἀκτῖνες. D. 1.

καθαπτούσαις] καθαπτούσας. D. 1. A. 1. 2. 3. Con. Mox, κόνους. A. 2. Plutarch. de placit. philof. IV, 13. hanc Hipparchi definitionem referens, exhibet περικαθαπτούσαις, ac fi ad ἐπαφαῖς referendum fit. Equidem probaverim περικαθαπτούσας, id ex, ἀκτῖνας. Καθάπτειν poftulat potius τῶν ἐκτὸς σωμάτων. Καθάπτεσθαί τινα et τινος λόγοις, de quo Euftathius ad Homerum monuit, non eft hujus loci. Tamen ἅπτειν, cum *tangere*, *contrectare* notat, ufitatiffime terminationem mediam habet. Vallae interpretatio prorfus obfcura eft.

ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. οἱ δὲ γεωμέ-
τραι κώνους τινὰς ἀναγράφουσιν, ἐκ τῆς συνεμπτώσεως τῶν
ἀκτίνων γινομένους, τῶν ἐκπεμπομένων διὰ τῶν ὀφθαλμῶν.
πέμπειν γὰρ ἀκτῖνας, τὸν μὲν δεξιὸν ὀφθαλμὸν, ἐπὶ τὰ
ἀριστερὰ, τὸν δὲ ἀριστερὸν, ἐπὶ τὰ δεξιά· ἀπὸ δὲ τῆς
συνεμπτώσεως αὐτῶν ἀποτελεῖσθαι κῶνον, ὅθεν ὁμοῦ μὲν
πολλὰ περιλαμβάνειν ὁρατὰ τὴν ὄψιν, βλέπειν δὲ ἀκριβῶς 79
ἐκεῖνα, ἔνθα ἂν συνεμπέσωσιν αἱ ἀκτῖνες. οὕτω γοῦν πολ-
λάκις, ὁρῶντες εἰς τοὔδαφος, οὐχ ὁρῶμεν τὸ ἐν αὐτῷ
νόμισμα κείμενον, ἀτενίζοντες ἐπὶ πλεῖστον, ἕως ἂν αἱ συμ-
βολαὶ τῶν ἀκτίνων ἐν ἐκείνῳ γένωνται τῷ μέρει, ἔνθα
κεῖται τὸ νόμισμα, καὶ τότε τῇ θέᾳ προςπίπτομεν αὐτοῦ,
ὡς τότε πρῶτον ἀρξάμενοι προςέχειν. οἱ δὲ ἐπικούρειοι,
εἴδωλα τῶν φαινομένων προςπίπτειν τοῖς ὀφθαλμοῖς. Ἀρι-
στοτέλης δὲ, οὐκ εἴδωλον σωματικὸν, ἀλλὰ ποιότητα δι'
ἀλλοιώσεως τοῦ πέριξ ἀέρος ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄψεως

VAR. LECT. ET ANIMADV.

ἐπαφαῖς] palpatione. Con.

γινομένους] Sic a prima manu correct., antea fuerat aut ης, aut ας in fine. D. 1. Ab τῶν ἀκτίνων ad αὐτῶν ἀποτελεῖσθαι omittit M. 1.

τὸν μὲν δεξιὸν] vid. Platon. in Timaeo p. 483. δεξιὰ δὲ φαντάζεται κ. τ. λ.

ὁμοῦ μὲν πολλὰ] ὁμοῦ πολλὰ μέν. D. 1.

ὁρατὰ τὴν ὄψιν] περὶ τὴν ὄψιν. A. 3.

αἱ ἀκτῖνες] αἱ ακτῖνες. D 1. Ox. Mox, εἰς τὸ ἔδαφος. A. 1. Deinde: ἐπὶ τὸ πλεῖστον. A. 3.

αἱ συμβολαὶ] αἱ συμβολικαί. D. 1. Mox γένωνται, loco γίνονται. D. 1. A 1. 2. 3. et, ἔνθαπερ κεῖται. A 3

τῇ θέᾳ προςπίπτομεν αὐτοῦ] αὐτοῦ, id est, τοῦ νομίσματος. Ferri hoc possit. Malim tamen αὐτῷ. Nam si αὐτοῦ scripsisset, statim id conjunxisset cum τῇ θέᾳ, nullo interposito vocabulo.

πρῶτον ἀρξάμενοι] ἀρξάμενοι πρῶτον. A. 2. Mox, ἐπικούρειοι. D. 1. Et: προςπίπτειν φησὶ τοῖς ὀφθ. Idem. Sufficit in his et proximis ex superioribus intelligere φασὶν et φησί. De idolis Epicureorum vid. Plutarch. T. II. p. 901. A.

οὐκ εἴδωλον] οὐχὶ εἴδωλον. A. 1. *Non* abest. Vall.

ποιότητα δι' ἀλλοιώσεως] ποιότητα διαλλοιώσεως, et α in

ποιό-

παραγίνεσθαι. Πλάτων δὲ, κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀποῤῥέοντος εἰς τὸν ὁμοιογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα, εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως. Γαληνὸς δὲ, συμφώνως Πλάτωνι, περὶ τῆς ὄψεως ἐν τῷ ἑβδόμῳ τῆς συμφωνίας λέγει, γράφων οὕτω πως σποράδην· εἴπερ γὰρ εἰς τὸν ὀφθαλμὸν ἀφικνοῖτο μοῖρά τις ἢ δύναμις ἢ εἴδωλον ἢ ποιότης τῶν ὁρωμένων σωμάτων, οὐκ ἂν τοῦ βλεπομένου τὸ μέγεθος ἔγνωμεν, οἷον ὄρους, εἰ τύχοι, μεγίστου. τηλικούτου γὰρ εἴδωλον ἐμπίπτειν τοῖς ὀφθαλμοῖς ἡμῶν παντάπασιν ἄλογον· ἀλλὰ μὴν καὶ τὸ πνεῦμα τὸ ὀπτικὸν οὐχ οἷόντε τοσαύτην ἰσχὺν ἐκκρινόμενον λαμβάνειν, ὡς περιχεῖσθαι παντὶ τῷ βλεπομένῳ· λείπεται οὖν, τὸν πέριξ

VAR. LECT. ET ANIMADV.

ποιότητα, a man. rec. D. 1. *Sed qualitatem*. Con. Vall. ὁμοιώσεως, loco ἀλλοιώσεως. A. 3.

παραγίνεσθαι] pertendere. Vall. Forte παρατείνεσθαι. M. 1. habet: παραγίνεται.

κατὰ συναύγειαν] κατὰ τὴν συναυγίαν. A. 2. συναυγίαν etiam D. 1. A. 1. Mox, τοῦ μὲν ὀφθαλμῶν φωτός. A. 1. Cum quadam varietate hanc Platonis definitionem laudat Plutarch. l. l. IV, 13.

εἰς τὸν ὁμοιογενῆ ἀέρα] Ad unum extrinſecum aërem. Con.

ἀπὸ τῶν σωμάτων] ἀπὸ μὲν τῶν σωμάτων. A. 2. 3.

ἀντιφερομένου, τοῦ δὲ περὶ] ἀντιφερομένου καὶ περί. D. 1. ἀποφερομένου, loco ἀντιφερ. A. 3. Mox idem vitioſe εὔτρεπον, loco εὔτρεπτον. Paullo poſt τῷ, ante πλάτωνι addit M. 1.

συνεκτεινομένου] Cono: coëxtenſis igniformi viſus virtute.

ἀφικνοῖτο] ἀφικνεῖτο. D. 1. A. 3. ἀφίκνειτο. Sic. A. 2. Mox, μοῖρα τίς. D. 1. ac deinde vitioſe, ἔγνομεν. Idem. Ac mox ἤτοι, loco εἰ τύχοι. M. 1.

τηλικούτου γὰρ εἴδωλον] τηλικοῦτον γὰρ εἴδωλον. D. 1. Vall.

ἀλλὰ μὴν καὶ κ. τ. λ.] Cono: Senſum quoque et viſivum ſpiritum.

τοσαύτην ἰσχὺν ἐκκρινόμενον λαμβάνειν, ὡς] τοσαύτην ἔχειν ἐκκρινόμενον λαμπηδόνα, ὡς. D. 1. τοσαύτην ἰσχὺν ἔχειν ἐκκρ. λαμβ. ὡς. A. 2. Tantam fortitudinem ſortiri. Con.

ἀέρα τοιοῦτον ὄργανον ἡμῖν γίνεσθαι, καθ᾿ ὃν ὁρῶμεν χρό- 80
νον, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρον ὑπάρχει τὸ ὀπτικόν. τοιοῦτον γάρ τι πάσχειν ἔοικεν ὁ περιέχων ἡμᾶς ἀήρ· ἥ, τε γὰρ αὐγὴ τοῦ ἡλίου, ψαύουσα τοῦ ἄνω πέρατος τοῦ ἀέρος, διαδίδωσιν εἰς ὅλον τὴν δύναμιν· ἥ,τε διὰ τῶν ὀπτικῶν νεύρων αὐγὴ φερομένη, τὴν μὲν οὐσίαν ἔχει πνευματικὴν, ἐμπίπτουσα δὲ τῷ περιέχοντι καὶ τῇ πρώτῃ προςβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείστου συνέχουσα ἑαυτὴν, ἄχρις ἂν εἰς ἀντιτυπὲς ἐμπέσῃ σῶμα. γίνεται γὰρ ὁ ἀὴρ ὄργανον τῷ ὀφθαλμῷ πρὸς τὴν τῶν ὁρωμένων διάγνωσιν τοιοῦτον, οἷόνπερ ἐν ἐγκεφάλῳ τὸ νεῦρον· ὥςτε ὃν ἔχει λόγον ὁ ἐγκέφαλος πρὸς τὸ νεῦρον, τοῦτον ἔχειν τὸν ὀφθαλμὸν πρὸς τὸν ἀέρα ἐψυχωμένον ὑπὸ τῆς ἡλιακῆς αὐγῆς. ὅτι δὲ πέφυκεν ὁ ἀὴρ

VAR. LECT. ET ANIMADV.

ἀέρα τοιοῦτον ὄργανον] ἀέρα τοιοῦτον εἶναι, ὡς ὄργανον. D. 1. A. 2. Sed ab ὄργανον ad ἄχρι πλείστου συνέχουσα, in marg. leguntur a man. rec. In textu enim fere deleta ſunt. A. 2.

γίνεσθαι] γίγνεσθαι. A. 1. γενέσθαι. A. 2.

καθ᾿ ἂν ἐρῶμεν] καθ᾿ ὃν ὁρῶμεν. D. 1. A. 1. 2. M. 1. Ox. Con. *tantisper quoad videamus.* Vall. Paullo ante γίγνεσθαι. A. 3.

ὁποῖον ἐν τῷ] et eum cauſam eſſe, ut in corpore tanta vis exiſtat, tantusque ſpiritus. Con. ποῖον, loco ὁποῖον. M. 1.

τοιοῦτον γάρ τι πάσχειν] τοσοῦτον γάρ τι πάσχειν. A. 1. 3.

εἰς ὅλην τὴν δύναμιν] ὅλον, loco ὅλην. A. 1. 3. Sic ex correct. D. 1.

συνέχουσα ἑαυτὴν] συνέχουσα ἑαυτῇ. D. 1. M. 1. συνεχοῦς ἑαυτῇ. A. 3. *Secum retinens eam.* Con. Mox, ἐμπέσῃ τὸ σῶμα. Idem. Deinde ὄργανον omittit A. 3.

διάγνωσιν τοιοῦτον· οἷόνπερ ἐγκεφάλω] διάγνωσιν τοιοῦτον, οἷόνπερ ἐν ἐγκεφάλῳ. A. 3. Aut ἐν, aut τῷ, aut utrumque addendum videtur.

ἔχει λόγον ἐγκέφαλος πρὸς τὸν νεῦρον] ἔχει λόγον ὁ ἐγκέφαλος πρὸς τὸ νευρόν. D. 1. τὸ, ante νεῦρον, habet etiam A. 1. 2. Loco ὃν, habet οὐκ, ante ἔχει, M. 1. Mox, τοῦτον ἔχει ὀφθ. A. 1.

ὅτι δὲ πέφυκεν] δὲ abeſt. A. 3.

τοῖς πλησιάζουσι σώμασι συνεξομοιοῦσθαι, δῆλον ἐκ τοῦ καὶ πυῤῥοῦ τινὸς ἢ κυανοῦ ἢ καὶ ἀργύρου λαμπροῦ διαφερομένου, φωτὸς ὄντος, ὑπὸ τοῦ διενεχθέντος ἀλλοιοῦσθαι τὸν ἀέρα. Πορφύριος δὲ ἐν τῷ περὶ αἰσθήσεως, οὔτε κῶνον, οὔτε εἴδωλον, οὔτε ἄλλο τι, φησὶν, αἴτιον εἶναι τοῦ ὁρᾷν· ἀλλὰ τὴν ψυχὴν αὐτὴν, ἐντυγχάνουσαν τοῖς ὁρατοῖς, ἐπιγινώσκειν ἑαυτὴν οὖσαν τὰ ὁρατὰ, τῷ τὴν ψυχὴν συνέχειν πάντα τὰ ὄντα, καὶ εἶναι τὰ πάντα ψυχὴν συνέχουσαν σώματα διάφορα. μίαν γὰρ βουλόμενος εἶναι πάντων ψυχὴν τὴν λογικὴν, εἰκότως φησὶ γνωρίζειν ἑαυτὴν ἐν πᾶσι τοῖς οὖσιν. ὁρᾷ δὲ ἡ ὄψις κατ᾽ εὐθείας γραμμὰς, αἰσθάνεται δὲ, κατὰ

VAR. LECT. ET ANIMADV.

ἐκ τοῦ καὶ πυῤῥοῦ] Con. ita: quod producto lumine, vel lucida argenti maſſa in medium allata, ſtatim alteraſcit aër. Πυρός τινος καὶ, loco πυῤῥοῦ τινὸς ἢ. M. 1.

ἢ καὶ ἀργυροῦ] ἢ καὶ ἀργύρου D. 1. Ellebodius λαμπροῦ cum reliquis tribus adjectivis, tanquam ſubſtantivum, conjunxit, quod mihi quidem non probabile videtur. Equidem credo quatuor colores hic memoratos eſſe. Ergo ἀργυροῦ λαμπροῦ corruptum puto. Interim ex Cod. D. 1. adoptandum videtur ἀργύρου λαμπροῦ. Λαμπροῦ ita collocatum ad φωτὸς referri nequit. Valla quidem *argenteo* habet, ſed reliqua ejus interpretatio obſcura eſt.

διαφερομένου] διαφαινομένου. D. 1. Ab διαφερομένου ad εὐθείας γραμμὰς a man. rec. in marg. In textu enim fere evanuerunt. A. 2. Διαφέρειν eſt *ferre per*, *transferre*. Ita Xenoph. Oecon. IX, 8.

ὑπὸ τοῦ διενεχθέντος] ὑπὸ τοῦ δειχθέντος. D. 1. ὑπό τινος διενεχθέντος. A. 2. (Sic credo. Dubius enim eram.) Paullo poſt deeſt τι, poſt ἄλλο. M. 1. Paullo poſt: ἄλλο τι αἰτιόν φησιν. A. 3.

ἐντυγχάνουσαν κ. τ. λ.] Con. ita: quae poteſt viſibilem ſeipſam cognoſcere eſſe viſibilia, eo, quod anima conſtringat omnia, quae ſunt, et eo, quod omnia ſint anima, quae diverſa corpora continet.

ἑαυτὴν οὖσαν] ἐν ἑαυτῇ οὖσαν. M. 1.

πάντα τὰ ὄντα] τὰ abeſt. Ox.

εἰκότως φησὶ] εἰκότως φασί. A. 3.

ὁρᾷ δὲ ἡ ὄψις] Con. incipit libri 4. cap. 3. Viſum et ſenſus alios cognoſcere ſenſibilia communia. Et quod unus

ſen-

πρῶτον μὲν λόγον, τῶν χρωμάτων, συνδιαγινώσκει δὲ αὐ- 81
τοῖς καὶ τὸ κεχρωσμένον σῶμα, καὶ τὸ μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα, καὶ τὴν χώραν, ἔνθα ἐστὶ, καὶ τὸ διάστημα, καὶ τὸν ἀριθμὸν, κίνησίν τε καὶ στάσιν, καὶ τὸ τραχὺ καὶ λεῖον καὶ ὁμαλὸν καὶ ἀνώμαλον καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλὺ καὶ τὴν σύστασιν, εἴτε ὑδατῶδες, εἴτε γεῶδές ἐστιν, οἷον, ὑγρὸν ἢ ξηρόν. τὸ μὲν οὖν ἴδιον αὐτῆς αἰσθητόν ἐστι, τὸ χρῶμα· διὰ μόνης γὰρ τῆς ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα· εὐθέως δὲ σὺν τῷ χρώματι καὶ τὸ κεχρωσμένον σῶμα καὶ τὸν τόπον, ἐν ᾧ τυγχάνει ὂν τὸ ὁρώμενον, καὶ τὸ διάστημα, τὸ μεταξὺ τοῦτε ὁρῶντος καὶ τοῦ ὁρωμένου. ὁπόσαις γὰρ τῶν αἰσθήσεων συνεμφαίνεται καὶ τὸ σῶμα, ταύταις εὐθέως καὶ ὁ τόπος συνδιαγινώσκεται, ὡς τῇ ἁφῇ καὶ τῇ γεύσει· ἀλλ' αὗται μὲν τότε μόνον, ὅταν προςπελάσωσι τῷ σώματι, αἰσθάνονται, πλὴν τῶν ἑξῆς διορισθησομένων· ὄψις δὲ καὶ πόῤῥωθεν. ἐπεὶ δὲ πόῤῥω-

VAR. LECT. ET ANIMADV.

ſenſus defectum alterius corrigit, ſingulorum autem ipſa ratio.

αἰσθάνεται δὲ] vid. Jo. p. 183. D.

κατὰ πρῶτον μὲν] κατὰ μέρος πρῶτον. M. 1. Mox idem αὐτῆς, loco αὐτοῖς. Paullo poſt A. 3. omittit καὶ τὸ μέγεθος — σχῆμα.

στάσιν] στᾶσιν. D. 1.

καὶ λεῖον καὶ ὁμαλὸν] καὶ τὸ λεῖον καὶ ὠμαλόν. Sic. D. 1. τὸ, ante λεῖον, addit etiam A. 2. 3. Mox, στάσιν, loco σύστασιν. A. 3. et αὐτῆς ἐστὶν αἰσθητὸν, τὸ χρῶμα. D. 1.

εὐθέως δὲ σὺν] εὐθέως γὰρ σύν. A. 1. Paullo ante deeſt τῶν, ante χρωμάτων. M. 1. Et inferius τῷ μεταξὺ, loco τὸ μεταξύ. Idem. τὸ, ante μεταξὺ, et τοῦ, ante ὁρωμένου, omittit A. 3.

ὁπόσαις γὰρ — καὶ τὸ σῶμα ταύταις] ὁπόσως γὰρ — καὶ τὰ σώματα αὐτὰ εὐθέως. A. 3.

σώματι αἰσθάνονται] σώματι συναισθάνονται. A. 1. 2. 3. M. 1. Con.

πλὴν τῶν κ. τ. λ.] praeter alios ſenſus quibus de in ſequentibus dicemus. Con.

ἐπεὶ δὲ πόῤῥωθεν] ἐπειδὴ δέ πόῤῥωθεν. D. 1. A. 3. Iſta abſunt. M. 1. Mox τῶν ἰδίων omittit A. 3.

θεν ἀντιλαμβάνεται τῶν ἰδίων αἰσθητῶν, ἀναγκαίως ἐπηκο-
λούθησε, τὸ μόνην ὁρᾷν καὶ τὸ διάστημα, τὸ δὲ μέγεθος
τότε μόνην διαγινώσκειν, ὅταν τὸ φαινόμενον δύνηται διὰ
μιᾶς προςβολῆς περιλαβεῖν. ἐν οἷς δὲ μεῖζόν ἐστι τὸ ὁρώμενον
ἢ κατὰ μίαν προςβολὴν περιλαμβάνεσθαι, ἐν τούτοις (ἡ ὄψις)
δεῖται καὶ τῆς μνήμης καὶ τῆς διανοίας. κατὰ μέρος γὰρ
αὐτὸ θεωμένη καὶ οὐχ ὑφ' ἓν ὅλον, ἀναγκαίως εἰς ἕτερον
ἀφ' ἑτέρου μεταβαίνει, καὶ τὸ μὲν ἐμπίπτον ἀεὶ κατὰ τὴν
82 μετάβασιν, αἰσθητόν ἐστι· τὰ δὲ ἔμπροσθεν ἑωραμένα ἡ
μνήμη διαφυλάττει. συνάγει δὲ ἀμφότερα ἡ διάνοια τό τε
αἰσθητὸν καὶ τὸ μνημονευτόν. τοῦ μὲν οὖν μεγέθους διχῶς
ἀντιλαμβάνεται, ποτὲ μὲν μόνη, ποτὲ δὲ μετὰ μνήμης καὶ
διανοίας· τοῦ δὲ ἀριθμοῦ τῶν ὁρωμένων, τοῦ ὑπὲρ τρία ἢ
τέσσαρα, τοῦ κατὰ μίαν προςβολὴν μὴ ὁρωμένου, καὶ τῶν
κινήσεων καὶ τῶν σχημάτων τῶν πολυγώνων, οὐδέποτε μόνη,
ἀλλ' ἀεὶ μετὰ μνήμης καὶ διανοίας. οὐ γὰρ δύναται τὰ

VAR. LECT. ET ANIMADV.

τότε μόνη διαγινώσκει] τότε μόνον διαγινώσκειν. D. 1. τότε μόνην διαγινώσκειν A. 2. Tum modo dinoſcere valet. Con. Diſcernit. Vall.

δύναται διὰ] δύνηται, loco δύναται. A. 1. 2. Sic ex correct., antea vulgatum. D. 1.

μεῖζον] μείζων et ex corr. μεῖζον. D. 1.

ὁρώμενοι ἢ κατὰ μίαν] ὁρώμ. εἰ καὶ διὰ μίαν. A. 2.

περιλαμβάνεσθαι] περιγίνεσθαι. D. 1. Mox, ἡ ὄψις abeſt. D 1. Con. Vall. Sed hic addit, *ad rem viſam.*

κατὰ μέρος γὰρ] καὶ κατὰ μέρος γάρ. A. 3. Continuo idem: αὐτοθεομένη. Sic. Voluit cum reliquis, αὐτὸ θεωμένη.

αὐτὰ θεωμένη] αὐτὸ θεωμένη. D. 1. A. 2. Con. Αὐτὸ, id eſt, τὸ ὁρώμενον. Sic mox eſt ὅλον, non ὅλα. Αὐτῷ, loco αὐτά. M. 1. Mox, οὐχ inſertum D. 1. Deinde: ἐμπίπτον, *quod excidit.* Con.

ἀφ' ἑτέρου] αφ' ex correct. rec. D. 1.

ἀμφότερα ἡ διάνοια] ἡ abeſt. A. 3.

καὶ μνημονευτικὸν] καὶ τὸ μνημονευτικόν. D. 1. A. 2. Mox, τοῦ οὖν μέν. A. 3 deinde deeſt διχῶς. M. 1.

τοῦ δὲ ἀριθμοῦ ad μνήμης καὶ διανοίας] omittit Vall.

ὑπὲρ τὰ τρία] ὑπὲρ τρία. D. 1. A. 2. M. 1. Mox, ἢ τέσσαρα. D. 1. A. 1. 2.

ἀλλὰ μετὰ μνήμης] ἀεὶ, poſt ἀλλὰ, addit D. 1. A. 2. Con.

Mox,

πέντε καὶ ἓξ καὶ ἑπτὰ καὶ πλείω χωρὶς μνήμης συναγαγεῖν. οὕτως οὐδὲ τὰ ἑξάγωνα καὶ ὀκτάγωνα καὶ πολύγωνα σχήματα. καὶ ἡ κίνησις δὲ κατὰ μετάβασιν γινομένη, τὸ μὲν ἔχει πρότερον, τὸ δὲ δεύτερον. ἔνθα δὲ πρότερόν ἐστι καὶ δεύτερον καὶ τρίτον, τοῦτο μνήμη μόνη διαφυλάττει· τὸ δὲ ἄνω καὶ κάτω καὶ τὸ ἀνώμαλον καὶ ὁμαλὸν, ὡσαύτως δὲ καὶ τὸ τραχὺ καὶ τὸ λεῖον καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλὺ κοινὰ τῆς ἀφῆς καὶ τῆς ὄψεώς ἐστιν, ἐπειδὴ καὶ μόναι τὸν τόπον διαγινώσκουσι. χρῄζουσι δὲ καὶ διανοίας. μόνον γὰρ ἐκεῖνο, τὸ κατὰ μίαν προσβολὴν προσπῖπτον τῇ αἰσθήσει, μόνης αἰσθήσεως ἔργον ἐστί· τὰ δὲ κατὰ πλείους οὐ μόνης, ἀλλὰ καὶ μνήμης μετὰ διανοίας, ὡς ἔμπροσθεν ἐδείχθη. τῶν δὲ διαφανῶν καὶ μέχρι τοῦ βάθους διϊκνεῖσθαι πέφυκεν ἡ ὄψις, ἀέρος μὲν πρώτως καὶ μάλιστα· ὅλον γὰρ διεξέρχεται· δεύτερον δὲ ὕδατος ἠρεμοῦντός τε καὶ καθαροῦ· τοὺς ἰχθῦς γοῦν νηχομένους ὁρῶμεν· ἧττον δὲ διὰ ὑέλου καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων, δῆλον δὲ, ὅτι πεφωτισμένων·

VAR. LECT. ET ANIMADV.

Mox, κατὰ μνήμης. M. 1. et καὶ τὰ ἓξ καὶ τὰ ἑπτὰ καὶ πλείω χωρίς. D. 1. καὶ πλείω χωρὶς habet etiam A. 1. 2. 3. *Plura*. Vall.

τὰ ἑξάγωνα] τὰ abeſt. D. 1. A. 2. 3. Mox ὀκτάγωνα ex correct. rec., antea erat ἑπτάγωνα. D. 1. Deinde γινομένη. D. 1. A. 2. 3. *Motus — factus*. Vall.

καὶ ὁμαλὸν] καὶ ὡμαλόν. Sic. D. 1. Mox, καὶ λεῖον. A. 1. 3. Deinde, καὶ τὸ ἀμβλύ. A. 2.

ἀφῆς] φύσεως. D. 1. Mox, ὄψεώς ἐστιν ἐπειδή. A. 1. 2. 3.

τὰ δὲ κατὰ πλείους] μετὰ, loco κατά. A. 3. Mox idem: μνήμης καὶ διανοίας.

διϊκνεῖσθαι] δεικνύσθαι. Sic. A. 2.

ἀέρος μὲν πρῶτον] πρώτως, loco πρῶτον. D. 1. A. 2. 3.

δεύτερον δὲ] δεύτερον ex correct. rec. Forte antea δευτέρως, aut δευτέρων. D. 1.

ἠρεμοῦντος κ. τ. λ.] ἠρεμοῦντος (ex correct., antea ἠρ.) καὶ καθαροῦ τοὺς ἰχθῦς. D. 1. τοὺς ἰχθῦς etiam A. 1.

διὰ ὑέλου] δι' ὑέλου. D. 1. δι' ὑάλου. A. 1. 3. διὰ ὑάλου. A. 2. Mox, τῶν τοιούτων τρόπων. A. 2. Perque alia ſcilicet illuminata, eſt hoc quoque ejus proprium. Cono. Ergo quaedam omiſit.

83 καὶ ἔστι καὶ τοῦτο ἴδιον αὐτῆς. μὴ ἀπατήσῃ δέ τινας, ὡς καὶ τῶν θερμῶν ἡ ἀντίληψις ὄψεώς ἐστιν, ἐπειδὴ τὸ πῦρ ὁρῶντες, ἴσμεν εὐθέως, ὅτι καὶ θερμόν ἐστιν· ἂν γὰρ ἐπὶ τὴν πρώτην ὄψιν ἀναγάγῃς τὸν λόγον, εὑρήσεις, ὡς τότε, ὅτε πρῶτον ἡ ὄψις ἐθεάσατο τὸ πῦρ, μόνου τοῦ χρώματος καὶ σχήματος ἔσχε τὴν ἀντίληψιν· προσελθούσης δὲ καὶ τῆς ἁφῆς, ἐγνωρίσαμεν, ὅτι καὶ θερμόν ἐστιν, ὅπερ διεφύλαξεν ἡ μνήμη, παραλαβοῦσα παρὰ τῆς ἁφῆς· νῦν οὖν, ὅταν θεασώμεθα πῦρ, οὐδὲν ἄλλο βλέπομεν, ἢ τὸ σχῆμα καὶ τὸ χρῶμα τοῦ πυρός· ἡ δὲ διάνοια συμπαραλαμβάνει τοῖς ὁρωμένοις διὰ τῆς μνήμης καὶ τὴν θερμότητα. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μήλου. εἰ γὰρ οὐχ ὑπὸ μόνου τοῦ χρώματος καὶ σχήματος εἰδοποιεῖται τὸ μῆλον, ἀλλὰ καὶ τῆς ὀσμῆς, καὶ τῆς κατὰ τὴν γεῦσιν ποιότητος, οὐχὶ, καὶ τούτων ἡ ὄψις ἀντιλαμβανομένη, εἶδεν, ὅτι μῆλόν ἐστιν· ἀλλ' ἡ ψυχὴ τὴν μνήμην ἀποσώζει, τὴν ἐκ τῆς ὀσφρήσεώς τε καὶ γεύσεως, ἅμα τε τῷ θεάσασθαι συνεπινοεῖ καὶ ταῦτα τῷ σχήματι καὶ τῷ χρώματι. ὅταν οὖν κήρινον μῆλον νομίσωμεν ἀληθινὸν εἶναι μῆλον, οὐχ ἡ ὄψις ἐστὶν ἡ

VAR. LECT. ET ANIMADV.

καὶ τοῦτο ἴδιον αὐτῆς] καὶ ἔστι καὶ τοῦτο ἴδιον αὐτῆς. D. 1. A. 1. 2. 3. Mox: Atqui *neminem* decipiat. Con. Nec illud *quenquam* fallat. Vall.

ὡς τότε ὅτε πρῶτον] ὡς ὅτι πρῶτον. Ox. Mox poſt ἐθεάσατο deletum καί. D. 1.

θεασώμεθα πῦρ] τὸ, ante πῦρ, addit A. 2. Paullo ante ἐκ τῆς ἀφῆς. M. 1.

συμπαραλαμβάνει τοῖς ὁρωμένοις διὰ] abſunt. A. 3.

μνήμης καὶ τὴν θερμότητα] καὶ abeſt. A. 1. 3.

καὶ ἐπὶ τοῦ μήλου] κἀπὶ τοῦ μήλου. A. 2. Mox, εἰ γὰρ οὐκ ἀπὸ μόνου. D. 1. Εἰ γὰρ reddidit Valla, *ſiquidem*. Forte εἴγε.

ἀντιλαμβανομένη] ἀναλαμβανομένη. M. 1.

ὅτι μῆλον· ἀλλ' κ. τ. λ.] ὅτι μῆλόν ἐστιν· ἀλλ' ἡ ψυχή. D. 1. A. 1. 2. 3. Mox, ἅμα τὲ τῷ. D. 1. Nam ſimulac viderit. Con.

καὶ ταῦτα τῷ σχήματι] ταύτας, loco ταῦτα, id eſt, τὴν ὄσφρησιν καὶ γεῦσιν. A. 3.

οὐχ ἡ ὄψις] οὐχὶ ἡ ὄψις. D. 1. Proxime ante, deeſt μῆλον. M. 1.

ἐξαπατωμένη, ἀλλ' ἡ διάνοια. ἡ γὰρ ὄψις ἐν τοῖς ἰδίοις αἰσθητοῖς οὐ διεσφάλη· τό,τε γὰρ χρῶμα καὶ τὸ σχῆμα συνεῖδεν. αἱ μὲν οὖν τρεῖς τῶν αἰσθήσεων, ἥτε ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις τῶν ἔξωθεν καὶ μὴ προσπελαζόντων ἀντιλαμβάνονται, διὰ μέσου τοῦ ἀέρος· ἡ δὲ γεῦσις οὐκ ἄλλως αἰσθάνεται, ἐὰν μὴ προσομιλήσῃ τῷ αἰσθητῷ· ἡ δὲ ἁφὴ ἐπαμφοτερίζει· καὶ γὰρ πλησιάζουσα τοῖς σώμασι καὶ 84
διὰ μέσης ἔσθ' ὅτε ῥάβδου. ποτὲ μὲν οὖν ἡ ὄψις τῆς ἐπιμαρτυρίας χρήζει τῆς τῶν ἄλλων αἰσθήσεων, ὅταν ᾖ τὸ φαινόμενον ἐπιτετεχνημένον πρὸς ἀπάτην, ὡς ἐπὶ τῆς γραφῆς· γραφικῆς γὰρ ἔργον, ἀπατῆσαι τὴν ὄψιν ἐξοχαῖς οὐκ οὔσαις καὶ κοιλώμασιν, εἰ τὸ πρᾶγμα τοιαύτην ἔχει τὴν φύσιν· ἔνθα χρεία πρὸς διάγνωσιν, μάλιστα μὲν τῆς ἁφῆς, ἔσθ' ὅτε δὲ καὶ τῆς γεύσεως ἢ ὀσφρήσεως, ὡς ἐπὶ τοῦ κηρίνου μήλου· ποτὲ δὲ καθ' ἑαυτὴν ἐναργῶς παρίστησι τὰ φαινόμενα, ὅταν μὴ πόῤῥωθεν ὁρᾷ· τὸν γοῦν πύργον, τὸν

VAR. LECT. ET ANIMADV.

M. 1. Paullo poſt: καὶ τὸ σχῆμα σύνοιδεν, loco συνεῖδεν. A. 3.

πλησιάζουσα τοῖς σώμασι] τοῖς abeſt. M. 1.

διὰ μέσης] Malim et hic, διὰ μέσου. Cono: Per *medium* quandoque *virgam*. Sic. Valla: Et medio aliquando bacillo *ſenſum exploratum habet*. Τῆς, ante ῥάβδου, addit A. 3.

ἔσθ' ὅτε ῥάβδου] poſt ὅτε legitur καὶ, ſed punctis notatum, ut tollendum. D. 1.

ἐπιτετεχνημένον] ἐπιτετεχνασμένον. D. 1. Utrumque probum. Igitur etiam occurrit ἐπιτέχνασμα apud Polyb. T. III. pag. 455. et ἐπιτέχνημα apud Euſeb. Praepar. Evang. p. 30. 308. Mox deſunt: ὡς ἐπὶ τῆς γραφῆς. A. 3. deinde, γραφικῆς δὲ ἔργον. A. 1. et paullo poſt, χρεία. D. 1.

κοιλώμασι] Cono: *circulis*. Male. Κύκλωμα videtur legiſſe. Valla: *cavitates*.

καὶ τῆς γεύσεως] ex correct., antea credo fuerat ὄψεως. D. 1.

ποτὲ δὲ καὶ καθ'] καὶ abeſt. D. 1. A. 1. 2. 3. Mox, πῦργον et ex correct. rec. πύ. D. 1. Deinde: σφάλλεται καὶ ὅταν. A. 3. Παρίστησι Valla male reddidit, *confirmat*.

τετράγωνον, στρογγύλον ὁρᾷ πόῤῥωθεν· σφάλλεται δὲ καὶ, ὅταν δι᾽ ἀχλύος ἢ καπνοῦ βλέπωμεν, ἤ τινος τῶν παραπλησίων τῶν ἐπιθολούντων τὴν ὄψιν. ὁμοίως καὶ, ὅταν δι᾽ ὕδατος κινουμένου· καὶ γὰρ ἐν τῇ θαλάσσῃ τὴν κώπην ὡς κεκλασμένην ὁρᾷ· ὁμοίως καὶ, ὅταν διά τινος διαφανοῦς ὕλης βλέπῃ, ὡς ἐπὶ τῶν ἐσόπτρων καὶ τῆς ὑέλου καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων· ἢ ὅταν ὀξέως κινῆται τὸ ὁρώμενον· συνταράσσει γὰρ τὴν ὄψιν ἡ ταχεῖα κίνησις, ὡς στρογγύλα τὰ μὴ στρογγύλα βλέπειν, καὶ ὡς ἑστῶτα τὰ κινούμενα· ἢ ὅταν ἡ διάνοια πρὸς ἄλλοις ἀσχολῆται, ὡς ἐπὶ τοῦ προθεμένου μὲν συντυχεῖν φίλῳ, καὶ συντυχόντος μὲν, παρελθόντος δὲ αὐτὸν, τῷ τὴν διάνοιαν αὐτοῦ πρὸς ἑτέροις εἶναι. οὐκ ἔστι δὲ οὐδὲ τοῦτο διαμάρτημα τῆς ὄψεως, ἀλλὰ τοῦ νοῦ. ἡ μὲν γὰρ εἶδε, καὶ ἀπήγγειλεν· ὁ δὲ νοῦς οὐ προσέσχε τοῖς ἀπαγγελθεῖσι. τεσσάρων δὲ μάλιστα πρὸς ἐναργῆ διά-

VAR. LECT. ET ANIMADV.

ἢ καπνοῦ βλέπομεν] ἢ καπνοῦ βλέπωμεν. D. 1. A. 1. 3. ἢ καπνοῦ βλέπωμεν καί τινος. M. 1. Hoc τινὸς omittit. A. 3.

κεκλασμένην ὁρᾷ] Solum κεκλασμένη exhibet. A. 3. Ferri id possit, si antea legeretur ἡ κώπη.

ὁμοίως καὶ ὅταν] δὲ ante καὶ, addit A. 2. Mox, τῆς ὑάλου. A. 1. 2. Deinde: τοιούτων τρόπων, loco τοιουτοτρόπων. A. 3.

ὀξέως κινῆται] ὀξέως κινεῖται, sed a prima manu η. supra. In marg. autem rec. memorat exemplum: ὡς ἐπὶ τοῦ τραχήλου τῆς περιστερᾶς. D. 1.

ὡς ἑστῶτα τὰ κινούμενα] μὴ, post τὰ, addit D. 1.

πρὸς ἄλλοις ἠσχόληται] loco ἠσχολ. habet ἀσχολῆται. A. 2. ἀσχολεῖται, sed a primo correctum ῆ. D. 1. Mox deest μὲν, ante συντυχεῖν. D. 1.

καὶ συντυχόντος] καὶ μὴ συντυχόντος. D. 1.

πρὸς ἑτέροις] πρὸς ἑτέρους. M. 1. πρὸς ἕτερον. A. 3.

οὐκ ἔστι δὲ οὐδὲ τοῦτο διαμάρτημα] οὐκ ἔστι δὲ τοῦτο τὸ διαμάρτ. D. 1. τὸ, post τοῦτο, addit etiam A. 1. Etiam 2. sed in hoc antea erat ἁμάρτημα. Τὸ hoc loco, sensu non multum diverso, vel addi, vel omitti potest, ut sit, vel τοῦτο οὐκ ἔστι διαμάρτημα τῆς ὄψεως, vel τοῦτο τὸ διαμάρτημα οὐκ ἔστι τῆς ὄψεως.

ἀπαγγελθεῖσι] ἀπηγγελθεῖσι. D. 1.

γνωσιν ἡ ὄψις χρήζει, ἀβλαβοῦς αἰσθητηρίου, συμμέτρου κινήσεως, καὶ διαστήματος, ἀέρος καθαροῦ καὶ λαμπροῦ.

ΚΕΦ. Η.

ΠΕΡΙ ΑΦΗΣ.

Ἕκαστον μὲν τῶν ἄλλων αἰσθητηρίων διπλοῦν ὁ δημιουργὸς κατεσκεύασε, καὶ τόπῳ τινὶ καὶ μορίῳ τοῦ σώματος περιέγραψε· καὶ γὰρ ὀφθαλμοὺς δύο, καὶ ὦτα δύο, καὶ δύο πόρους τῆς αἰσθήσεως ἐν τῇ ῥινὶ πεποίηκε, καὶ γλώττας δὲ δύο πᾶσι τοῖς ζώοις ἐνέφυσεν· ἀλλὰ τοῖς μὲν διῃρημένας, ὡς τοῖς ὄφισι· τοῖς δὲ συνημμένας καὶ συνηνωμένας, ὡς τοῖς ἀνθρώποις· διὰ τοῦτο καὶ δύο τὰς προσθίους κοιλίας μόνας τοῦ ἐγκεφάλου πεποίηκεν, ἵνα ἐξ ἑκατέρας κοιλίας

VAR. LECT. ET ANIMADV.

καὶ λαμπροῦ] λεπτοῦ, loco λαμπροῦ. A. 3. φωτὸς addit D. 1. Sed ita quinque erunt, non quatuor. Ceterum per ſe intelligitur, aërem non poſſe eſſe lucidum ſine luce. Eſt ergo explicatio.

Cap. 8. Index idem. A. 1. 3. et 2. ſed hic a man. rec. Idem. D. 1. habet. Sed hoc caput ſeptimum numerat. περὶ ἁφῆς. λόγος η. M. 1. Cono incipit libri 4. cap. 4. De tactu, qui ſortitus eſt totum corpus, et ejus certitudine et ſubtilitate. Valla: de tactu. cap. 8. Confer Jo. p. 184. E.

τῶν ἄλλων αἰσθητηρίων] poſt τῶν, addit εἰρημένων. A. 3.

κατασκευάσας] κατεσκεύασε. D. 1. A. 1. 2. 3. Con. Vall. Mox, καὶ μορίῳ omittit Con. Deinde ὦτα δύο D. 1. A. 1. et, γλώττας δὲ δύο. A. 1. Sic, ſed omiſſo δέ. D. 1.

δύο πόρους τῆς αἰσθήσεως] ὀσφρήσεως, loco αἰσθήσεως. Con.

τοῖς ζωοῖς ἐνέφυσεν] τὴν ζωὴν ἐνεφύσηκε. M. 1.

τὰς μὲν διῃρημένας — τὰς δὲ συνημμ.] τοῖς μὲν διῃρ. — τοῖς δὲ συνημμ. A. 1. 2. Sic, ſed συνημμένας καὶ a manu rec. inſerta. D. 1. τοῖς μὲν διῃρημένην. In reliquis nihil mutat. A. 3. Valla etiam utrumque participium uno vocabulo *conjunxit* reddidit. συνημμένας καὶ omittit etiam Con. Mox, ὄφεσι. A. 3. D. 1. et καὶ δύο τὰς προσθίους. D. 1. A. 1. Paullo poſt: ἵνα ἐξ ἑτέρας κοιλίας. A. 3. deinde idem: νεῦρα κάτω πεμπόμενα διπλᾶ ποιεῖ.

τὰ αἰσθητικὰ νεῦρα καταπεμπόμενα, διπλᾶ ποιῇ τὰ αἰσθη-
τήρια. διπλᾶ δὲ αὐτὰ πεποίηκε, δι' ὑπερβάλλουσαν κηδε-
μονίαν· ἵνα τοῦ ἑτέρου παθόντος, τὸ περιλειπόμενον σώζῃ
τὴν αἴσθησιν. ἀλλὰ τῶν μὲν πλείστων αἰσθητηρίων διαφθει-
ρομένων, οὐδὲν εἰς αὐτὴν τὴν ζωὴν καταβλάπτεται τὸ ζῶον·
ἁφῆς δὲ ἀπολλυμένης, συναπόλλυται καὶ τὸ ζῶον. ἁφὴ
γὰρ μόνη τῶν αἰσθήσεων κοινὴ πάντων ἐστὶ τῶν ζώων. πᾶν
γὰρ ζῶον ἁφὴν ἔχει· τὰς δὲ ἄλλας αἰσθήσεις οὐ πάντα
πάσας, ἀλλ' ἐνίας ἔνια· πάσας δὲ ἔχει, τὰ τελειότερα.
ἐπειδὴ τοίνυν ἐν τούτῳ τὸ ζῶον ἐκινδύνευε ζῶον εἶναι, ἢ μὴ
εἶναι, οὐχ ἓν μόριον ὁ δημιουργὸς ἀπεκλήρωσε τῇ ἁφῇ·
86 ἀλλὰ πᾶν σχεδὸν τὸ σῶμα τοῦ ζώου· πλὴν γὰρ ὀστῶν καὶ
ὀνύχων καὶ κεράτων, συνδέσμων τε καὶ τριχῶν, καὶ ἄλλων
τινῶν τοιούτων, πᾶν μόριον τοῦ σώματος τῆς ἁφῆς ἀντι-
λαμβάνεται. συμβέβηκεν οὖν ἕκαστον τῶν αἰσθητηρίων δι-
πλᾶς ἔχειν αἰσθήσεις· τὴν μὲν, τῶν ἰδίων αἰσθητῶν· τὴν

VAR. LECT. ET ANIMADV.

διπλᾶ ποιῇ τὰ αἰσθητήρια] Duplices faciant *ſenſationes*. Con. ποιεῖται, loco ποιῇ τά. M. 1.

σώζῃ τὴν αἴσθησιν] σώζει τὴν αἴσθησιν. A. 2. Altera ſalutem defendat. Vall.

ἁφὴ γὰρ μόνη] vid. Jo. p. 184. C. ἁφὴ γὰρ — αἰσθήσεων. abeſt. A. 3. Mox τῶν αἰσθήσεων reddidit *prae ceteris*. Vall. Forte, τῶν ἄλλων.

καὶ τὰς ἄλλας αἰσθήσεις] τὰς δὲ ἄλλας αἰσθήσεις. D. 1. A. 2. 3. Licet alios ſenſus. Vall. Forte, εἰ καὶ τάς.

τελειότερα] τελεώτερα. A. 3.

ἐν τούτῳ τὸ ζῶον κινδυνεύει] ἐκινδύνευε, loco κινδυνεύει. D. 1. A. 1. 2. 3. ἐκινδύνευσαι δύναται, loco κινδυνεύει. M. 1. Et τῷ, loco τό. A. 1. Cum periclitetur. Con. Sit periclitatum. Vall.

οὐχ ἓν] ἢ οὐχ ἕν. M. 1.

πλὴν γὰρ ὀστῶν καὶ κεράτων καὶ ὀνύχων] πλὴν ὀστῶν καὶ ὀνύχων καὶ κεράτων. D. 1. Con Sic, ſervato γάρ. A. 1. 2. 3 Vall. Mox τε, poſt συνδέσμων, abeſt. M. 1.

τῆς ἁφῆς] διὰ ἁφῆς. A. 3.

διπλὰς ἔχειν αἰσθήσεις] διπλὰς (ex corr. rec. ᾶς) ἔχειν τὰς αἰσθήσεις. D. 1. διπλᾶς etiam A. 1. διπλὰς ἔχειν τὰς αἰσθήσεις. A. 2. 3.

δὲ, τῆς ἁφῆς, ὡς ἡ ὄψις· καὶ γὰρ τὰ χρώματα διακρίνει, καὶ τῶν θερμῶν καὶ ψυχρῶν ἀντιλαμβάνεται· ἀλλὰ τούτων μὲν, ὡς σῶμα, τῶν δὲ χρωμάτων, ὡς ὄψις. ὡσαύτως δὲ καὶ ἡ γεῦσις καὶ ὄσφρησις καὶ ἀκοή. πῶς οὖν παντός ἐστι τοῦ σώματος ἡ ἁφὴ, εἴπερ ἀπὸ τῶν προσθίων κοιλιῶν τοῦ ἐγκεφάλου λέγομεν εἶναι τὰς αἰσθήσεις; ἢ δῆλον, ὅτι νεύρων καταπεμπομένων ἐξ ἐγκεφάλου καὶ διασπειρομένων εἰς πᾶν μόριον τοῦ σώματος ἡ τῆς ἁφῆς αἴσθησις προσγίνεται. ἐπειδὴ δὲ πολλάκις ὑπ' ἀκάνθης πληγέντες τὸν πόδα, τῆς κεφαλῆς εὐθέως τὰς τρίχας φρίττομεν· ᾠήθησάν τινες, τὸ πάθος, ἢ τὴν αἴσθησιν τοῦ πάθους, εἰς τὸν ἐγκέφαλον ἀναπέμπεσθαι, καὶ οὕτως αἰσθάνεσθαι. ἀλλ' εἴπερ ἦν ἀληθὴς οὗτος ὁ λόγος, οὐκ ἂν ἤλγει τὸ τεμνόμενον μόριον, ἀλλ' ὁ ἐγκέφαλος. βέλτιον οὖν λέγειν, ὅτι τὸ νεῦρον ἐγκέφαλός ἐστι. καὶ γὰρ μοῖρά τις ἐστὶν ἐγκεφάλου, διὰ παντὸς ἑαυτοῦ τὸ ψυχικὸν ἔχον πνεῦμα, ὡς ὁ πεπυρακτω-

VAR. LECT. ET ANIMADV.

ψυχρῶν καὶ θερμῶν] θερμῶν καὶ ψυχρῶν. D. 1. A. 1. 3. Vall. τῶν ψυχρῶν abeſt. Con.

ὡς σωμάτων, τῶν δὲ] ὡς σῶμα, τῶν δέ. D. 1. Con. Vall. Mox, δὲ καὶ ἡ γεῦσις. A. 2. Iſtud δὲ ſolum omittit A. 3.

παντός ἐστι τοῦ σώματος ἡ ἁφὴ] ἐστιν, poſt σώματος, habet D. 1.

ἢ δῆλον] ἦ δῆλον. D. 1. A. 1. 3. Ox. Annon manifeſtum eſt. Con. Ob id ſcilicet. Vall. Ellebodius ἢ reddidit *an*, quod obſcurum eſt. Ἦ notat ἀληθῶς. Ergo reddere poterat vel *annon*, vel *nimirum*. Mox, demiſſus nervus — diſperſus. Idem.

νεύρων καταπεμπ. — διασπειρομένων] νεῦρον καταπεμπόμενον — διασπειρώμενον. M. 1.

κεφαλῆς εὐθέως τὰς τρίχας] τέως, loco εὐθέως. A. 1.

καὶ οὕτως αἰσθάνεσθαι] abſunt. A. 1. Vall.

οὗτος ὁ λόγος] ὁ λόγος οὗτος. D. 1.

οὐκ ἂν ἤλγει] οὐκ ἂν ἤλγειε. A. 2. ἤλγει ex correct. rec. Forte antea ἤλγεε, aut ἤλγησε. D. 1.

τὸ νεῦρον ἐγκέφαλος] ὁ, poſt νεῦρον addit A. 2. Nervum eſſe cerebri. Con. Quod nervus cerebrum eſt. Vall. Mox ἐγκέφαλος, loco ἐγκεφάλου. M. 1.

ἔχον πνεῦμα] ἔχων πνεῦμα. A. 2. Nemeſius ἔχον retulit ad νεῦρον, non ad μοῖρα. Valla: quae (pars) per ipſum totum

μένος σίδηρος ἔχει τὸ πῦρ· διά τοι τοῦτο, ἔνθα ἂν νεῦρον
αἰσθητικὸν ἐμφύηται, ἐκεῖνο τὸ μέρος αἰσθήσεως ὑπ' αὐτοῦ
μεταλαμβάνει καὶ γίνεται αἰσθητικόν. οὐδὲν δὲ ἴσως ἄτοπον
87 λέγειν, ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων, τὸν ἐγκέφαλον, ἀναπέμ-
πεσθαι, οὐ τὸ πάθος, ἀλλὰ συναίσθησίν τινα καὶ ἀπαγ-
γελίαν τοῦ πάθους· ἔστι δὲ ἴδιον αἰσθητὸν ἁφῆς τὸ θερμὸν
καὶ ψυχρὸν, τό τε μαλακὸν, καὶ σκληρὸν, καὶ γλίσχρον.
καὶ κραῦρον, βαρύ τε καὶ κοῦφον· διὰ μόνης γὰρ τῆς ἁφῆς
ταῦτα γνωρίζεται. κοινὰ δὲ ἁφῆς καὶ ὄψεως, τό τε ὀξὺ
καὶ ἀμβλὺ καὶ τὸ τραχὺ καὶ λεῖον, τό τε ξηρὸν καὶ
ὑγρὸν, παχύ τε καὶ λεπτὸν, ἄνω καὶ κάτω· καὶ γὰρ ὁ

VAR. LECT. ET ANIMADV.

totum animalem fundit (χέον) ſpiritum. Proxima διά τοι τοῦτο inepte et obſcure reddidit Vall. Mox, ὡς ὁ omittit M. 1.

ἐμφύηται ἐκεῖνο] ἐμφύεται, ἐκεῖνο. Sed ſyllaba νο a man. rec. Ergo antea ἐκεῖ a prima manu. D. 1. ut ſcilicet referatur ad ἔνθα. Sed et ἐκεῖνο probum. Cono: illa pars. Ἐμφύεται et paullo ante διὰ τί, loco διά τοι. M. 1.

τῶν νεύρων, τὸν ἐγκέφαλον] Per appoſitionem. Ergo Cono interpoſuit, *id eſt*. Valla: in nervorum principio cerebrum immittere non paſſionem.

τὸν ἐγκέφαλον] τοῦ ἐγκεφάλου. M. 1.

οὐ τὸ πάθος] οὐχὶ πάθος. D. 1, A. 2.

ἐπαγγελίαν δὴ τοῦ πάθους] ἀπαγγελίαν τοῦ πάθους. A. 1. 2. 3. Sic ex corr., antea ἀπαγγελείαν. D. 1.

ἔστι δὲ ἴδιον] vid. Jo. p. 184. C.

γλίσχρον καὶ κραῦρον] γλισχρὸν καὶ χαῦνον. D. 1. Poſt κραῦρον ita eſt: . . . φαρὸν καὶ ξηρὸν, ac deinde βαρὺ κ. τ. λ. A. 2. *Lubricum et conſiſtens*. Vall. Κραῦρον, *aridum*. Con. Sic reddunt nonnulli. Verum mox ſeparatim memoratur ξηρόν. Ariſtot. de animal. generat. II, 1. jungit σκληρὰ καὶ μαλακὰ, et, γλίσχρα καὶ κραῦρα. Germanice: *klebricht und rauh*.

ἄνω καὶ κάτω — ἄλλα τινὰ σχήματα] Haec ſaltem ſunt ἀσύντακτα, niſi adeo ſint corrupta. Hoc utique videtur apparere, ἄνω καὶ κάτω absque articulo τὸ, non poſſe notare altitudinem et profunditatem, ſed eſſe potius loco ἀναμίξ. Fortaſſe ſcripſerat: ὁμοίως δὲ καὶ ὁ τόπος τό,τε μέγεθος, intellige, κοινά ἐστιν ἁφῆς καὶ ὄψεως. Valla: ſurſum et deorſum. Nam et locus et magni-

τόπος, τό,τε μέγεθος, ὅταν ᾖ τοιοῦτον, ὡς κατὰ μίαν προσβολὴν τῆς ἀφῆς περιλαμβάνεσθαι, καὶ τὸ πυκνὸν δὲ καὶ τὸ μανὸν καὶ τὸ στρογγύλον, ὅταν ᾖ μικρὸν, ὡς καὶ ἄλλα τινὰ σχήματα. ὁμοίως δὲ καὶ τῆς κινήσεως τοῦ πλησιάζοντος αὐτῇ σώματος αἰσθάνεται σὺν τῇ μνήμῃ καὶ τῇ διανοίᾳ. ὡσαύτως δὲ καὶ ἀριθμοῦ· ἀλλὰ μέχρι δυοῖν ἢ τριῶν καὶ τούτων μικρῶν καὶ ῥᾳδίως περιλαμβανομένων· μᾶλλον δὲ τῆς ἀφῆς ἡ ὄψις τούτων ἀντιλαμβάνεται, ὥσπερ καὶ τοῦ ὁμαλοῦ καὶ τοῦ ἀνωμάλου. τοῦ γὰρ γένους ἐστὶ τοῦ τε λείου καὶ τραχέος· σκληρότητι μὲν γὰρ ἀνωμαλία μιχθεῖσα τραχύτητα, ὁμαλότης δὲ πυκνότητι λειότητα ποιεῖ. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς πολλὴν κοινωνίαν αἱ αἰσθήσεις αὗται πρὸς ἀλλήλας ἔχουσι. καὶ γὰρ τὰ τῆς ἑτέρας διαμαρτήματα ἡ ἑτέρα διασαφεῖ. ἐπὶ γοῦν τῆς γραφῆς ἡ μὲν ὄψις ἐξοχάς τινας ὁρᾷ, ῥινός τε καὶ τῶν ἄλλων· ἡ δὲ ἁφὴ προσελθοῦσα

VAR. LECT. ET ANIMADV.

magnitudo *sunt ejusmodi*, ut una repercussione tactus deprehendatur.

τόπος. τό,τε μέγεθος] τόπος καὶ τὸ μέγεθος. A. 2.

σώματος αἰσθάνεται] σώματος αἰσθάνεσθαι. M. 1. et idem mox: ὡσαύτως δὲ καὶ τοῦ ἀριθμοῦ. et, δύο, loco δυοῖν. Deinde: ἡ ὄψις ἀντιλαμβάνεται, omisso τούτων. A. 3.

ὥσπερ καὶ τοῦ ὁμαλοῦ] ὁμαλοῦ ex correct. rec., antea ὠμαλοῦ, ut superius. D. 1. καὶ omittit A. 2.

τοῦ τε λείου καὶ τραχέος] τοῦ λείου καὶ τραχέος. A. 2. 3. Sic et D. 1. Sed ex corr., antea credo erat τραχέως.

σκληρότητι μὲν γὰρ ἀνωμαλία] σκληρότης μὲν γὰρ ἀνωμαλία. D. 1. A. 1. 3. Vall. Mox, τραχύτητι ex correct. rec., antea credo τραχύτητα. D. 1. Mox rursus ὁμαλότης ex corr. rec., antea ὡμαλότης. Idem.

αἱ αἰσθήσεις αὐταὶ] Malim αὗται, id est, ὄψις καὶ ἁφή. Αὐταὶ prorsus omittit Vall. Αὗται habet A. 3. Atque ita correxi.

διαμαρτήματα] ἁμαρτήματα. A. 2. Et sic mox, ἁμάρτημα. Mox, διασαφεῖται. A. 3.

ὄψις ἐξοχὰς κ. τ. λ.] haec cum proximis ita confundit M. 1. ὄψις ἀεὶ καὶ πάντα. διὰ μέσου δὲ τοῦ ἀέρος ὁρᾷ· οὕτω ῥινὸς καὶ τῶν ἄλλων. Mox idem τὰ διαμαρτήματα, loco τὸ διαμάρτημα. Posterius habet etiam A. 3.

διήλεγξεν αὐτῆς τὸ διαμάρτημα. ὥςπερ δὲ ἡ ὄψις ἀεὶ καὶ πάντα διὰ μέσου τοῦ ἀέρος ὁρᾷ· οὕτω καὶ ἡ ἀφὴ διὰ μέσου
88 τῆς βακτηρίας τῶν σκληρῶν καὶ μαλακῶν καὶ ὑγρῶν αἰσθάνεται, ἀλλὰ συλλογιστικῶς καὶ μετὰ διανοίας· ἀκριβεστάτην γὰρ ἔχει ταύτην τὴν αἴσθησιν ὁ ἄνθρωπος. ταύτῃ γοῦν καὶ τῇ γεύσει πλέον ἔχει τῶν ἄλλων ζώων, καί τοι ταῖς ἄλλαις τρισὶν ἡττώμενος. ἄλλο μὲν γὰρ ζῶον κατ᾽ ἄλλην αἴσθησιν τῶν τριῶν πλεονεκτεῖ τὸν ἄνθρωπον· ὁ δὲ κύων, ἐν ταῖς τρισὶν ἅμα· ὀξύτερον γὰρ καὶ ἀκούει καὶ βλέπει καὶ ὀσφραίνεται, ὡς δῆλον ἐκ τῶν ἰχνευόντων κυνῶν. καὶ πᾶν μὲν τὸ σῶμα τῆς ἀφῆς ἐστιν αἰσθητήριον, ὡς καὶ πρόσθεν εἴρηται· μάλιστα δὲ τῶν χειρῶν τὰ ἔσωθεν, καὶ τούτων ἔτι μᾶλλον τὰ ἄκρα τῶν δακτύλων· ταῦτα γὰρ ὥςπερ γνώμονάς τινας τῆς ἀφῆς ἀκριβεῖς ἔχομεν. οὐ γὰρ μόνον ἀντιληπτικὸν ὄργανον ὁ δημιουργὸς τὰς χεῖρας κατεσκεύασεν· ἀλλὰ καὶ ἁπτικόν, διὰ τοῦτο καὶ τὸ δέρμα λεπτότερον ἔχουσι, καὶ μῦς αὐταῖς ὅλαις ἔσωθεν ὑπέστρωται, καὶ τριχῶν ἀμοιροῦσιν, ἵνα μᾶλλον τῶν ἁπτῶν ἀντιλαμβάνωνται.

VAR. LECT. ET ANIMADV.

ὥςπερ ἡ ὄψις] δὲ, post ὥςπερ, addunt D. 1. A. 1. 2. 3. Con. Vall.

ἀεὶ καὶ πάντα] ἀεὶ καὶ πάντῃ τά. A. 3. Πάντῃ vehementer placet. Sed τὰ alienum eſt. Forte ſcripſerat auctor: ἀεὶ καὶ πάντῃ πάντα.

διὰ μέσης τῆς] Malim, διὰ μέσου τῆς.

ἀλλὰ συλλογιστικῶς] Hic in verſione loco *etſi*, correxi, *ſi* et *adhibeat*, loco *adhibet*.

τῶν τριῶν πλεονεκτεῖ] ἄλλων, ante τριῶν, addit D. 1. et paullo ante ἡττόμενος. Idem. Mox ὀσφραινῆσαι (ſic) δύναται loco ὀσφραίνεται. M. 1.

ὡς καὶ πρόσθεν] ὡς καὶ ἔμπροσθεν. D. 1. Eadem varietas infra, p. 90.

γνώμονας ἀκρ. τῆς ἀφῆς] γνώμονάς τινας τῆς ἀφῆς ἀκριβεῖς. D. 1. Sic, omiſſo τινάς. A. 2.

διὰ τοῦτο καὶ τὸ δέρμα] τὸ abeſt. D. 1. διὰ τοῦτο δὲ καὶ δέρμα. A. 3.

τῶν ἁπλῶν ἀντιλαμβάνωνται] ἁπτῶν, loco ἁπλῶν. A. 1. 2. 3. Con. Quo magis tactum complectantur. Vall. Ἀντιλαμβάνονται. A. 2. D. 1.

τοῦ δὲ τρίχας αὐτὰς μὴ φύειν, ὁ ὑπεστορεσμένος μῦς γέγονεν αἴτιος. τῶν δὲ χειρῶν αἱ μὲν σκληρότεραι πρὸς ἀντίληψίν εἰσιν ἰσχυρότεραι· αἱ δὲ μαλακώτεραι πρὸς τὴν ἁφὴν ἀκριβέστεραι· ὥςπερ καὶ τῶν νεύρων τὰ μὲν σκληρὰ πρὸς κίνησιν, τὰ δὲ μαλακὰ πρὸς αἴσθησίν εἰσιν ἐπιτηδειότερα. ταῦτα γὰρ καὶ τῆς ἁφῆς ἐστὶν ὄργανα· διὰ τούτων γὰρ ἡ τῆς ἁφῆς αἴσθησις γίνεται.

ΚΕΦ. Θ.

ΠΕΡΙ ΓΕΥΣΕΩΣ.

Τὴν μὲν ὄψιν ἐκ τοῖς ἔμπροσθεν εἴπομεν κατ' εὐθείας γραμμὰς ὁρᾷν· ἡ δὲ ὄσφρησις καὶ ἡ ἀκοὴ οὐ καθ' εὐθεῖαν 89
μόνον, ἀλλὰ καὶ πανταχόθεν. ἁφὴ δὲ καὶ γεῦσις οὔτε κατ' εὐθείας γραμμὰς, οὔτε πανταχόθεν γνωρίζουσιν· ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς, πλὴν

VAR. LECT. ET ANIMADV.

τρίχας αὐτὰς μὴ φύειν] αὐταῖς, loco αὐτάς. A. 2.
μῦς γέγονεν] ὑμὴν γέγονεν. Sed in marg. a rec. γρ. μῦς. D. 1.
ταῦτα γὰρ καὶ τῆς ἁφῆς] ταῦτα δὲ καὶ τῆς ἁφῆς. D. 1. M. 1. ταῦτα γὰρ αὐτῆς τῆς ἁφῆς. A. 1. ταῦτα δὲ αὐτῆς τῆς ἁφῆς. A. 2. ταῦτα δὲ καὶ αὐτῆς τῆς ἁφῆς. A. 3.
Cap. 9. Index idem. A. 1. 3. Sic, a man. rec. A. 2. περὶ γεύσεως. η. D. 1. Eſt enim in hoc caput 8. περὶ γεύσεως λόγος θ. M. 1. De guſtu. Cap. 9. Vall. Confer Jo. p. 185. A.
ἐν τοῖς ἔμπροσθεν] Pagina 80. in fine.
εὐθεῖαν μόνον κ. τ. λ.] εὐθεῖαν (ex correct. εἰ.) μόνον ἀλλὰ καὶ πανταχ. D. 1. καὶ, poſt ἀλλὰ, addit etiam A. 2. 3. Ceterum hic deeſt verbum, veluti γίνεται. Nam ex ὁρᾷν nihil repeti poteſt. Mox: ἁφὴ καὶ γεῦσις οὔτε κατ' εὐθεῖαν. A. 3. et idem paullo poſt: ὅταν αὐτῇ πλησ.
γνωρίζουσι] intellige, τὰ ἴδια αἰσθητά. Mox διωρισμένα, *definita*, interpretor προδιεγνωσμένα, quae jam antea tactu et guſtu percepta ſunt. Πλὴν τῶν ἤδη διωρισμένων omittit Con. Praeter eos, quos jam definivimus. Vall.
πλησιάσωσι] πλησιάζουσι. M. 1.

τῶν ἤδη διωρισμένων. ἔστι δὲ ἡ γεῦσις τῶν χυμῶν ἀντιληπτική· ὄργανα δὲ αὐτῆς ἡ γλῶσσα, καὶ ταύτης μᾶλλον τὸ ἄκρον, ἔτι τε σὺν τούτοις ἡ ὑπερῷα, ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα καὶ ἀπαγγέλλοντα τὴν γενομένην ἀντίληψιν πρὸς τὸ ἡγεμονικόν. τῶν δὲ χυμῶν αἱ γευστικαὶ καλούμεναι ποιότητές εἰσιν αὗται, γλυκύτης, ὀξύτης, δριμύτης, στρυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, λιπαρότης. τούτων γάρ ἐστιν ἡ γεῦσις διαγνωστική. κατὰ ταύτας δὲ τὰς ποιότητας καὶ τὸ ὕδωρ ἄποιον λέγεται, τῷ μηδεμίαν τούτων ἐμφαίνειν ἐν τῇ γεύσει ποιότητα. κατὰ γὰρ τὰς ἄλλας, οἷον ψυχρότητα καὶ ὑγρότητα, σύμφυτον ἔχει τὴν ποιότητα. στρυφνότης δὲ καὶ αὐστηρότης, τῷ μᾶλλον καὶ ἧττον στύφειν, ἀλλήλων διαφέρουσιν. αἱ μὲν οὖν ἁπλαῖ γευστικαὶ ποιότητες αὗται μόναι σχεδόν εἰσι· σύνθετοι δὲ, μυρίαι. καθ᾽ ἕκαστον γὰρ εἶδος ζώου

VAR. LECT. ET ANIMADV.

ἔστι δὲ ἡ γεῦσις] vid. Jo. p. 184. B. Hic Cono incipit libri 4. cap. 5. De gustu, auditu et odoratu. Mox ὄργανα reddidit *instrumentum* Vall.

ἡ ὑπερῷα] τὰ ὑπερῷα. Ox. Proximum ἐν οἷς refertur ad ὄργανα. Mox, ἀπαγγέλλοντα ex correct., antea ἐπαγγ. D. 1. Paullo post στυφότης, loco στρυφνότης, et sic quoque paullo post. M. 1. deinde, ἁλμυρότης, loco ἁλμυρά-της. D. 1.

λιπαρότης] Jo. l. l. addit γλισχρότης. Loco στρυφνότης habet Cono *stypticitas* i. e. στυφότης, a στύφω. Synes. T. I. pag. 2. κρέα μὲν γὰρ οὐκ ἐᾷ διαῤῥυῆναι στυφότης, et p. 36. Mox Cono στρυφνότης reddidit, *stypticum*, quod est, στυπτικόν.

τῷ μηδεμίαν ἐμφαίνειν τούτων] τῷ μὴ δὲ μίαν τούτων ἐμφαίνειν. Sed μὴ a recent. insertum. D. 1. τούτων, ante ἐμφαίνειν, habet etiam A. 1. 2. 3.

σύμφυτον ἔχει] ἔμφυτον ἔχει. A. 2.

ποιότητα· στρυφνότης] ποιότητα· στυφνότης. D. 1. Proximum στύφειν omittit Con.

αὗται μόνον σχεδὸν] αὗται μόναι σχεδόν. D. 1. A. 1. 2. Con. Vall. αὗται μόνον σχεδόν. A. 3. Mox, ἐστι· σύνθεται. M. 1.

ζώου καὶ φυτοῦ] ζώου καὶ φυτῶν. A. 1. 3. ζώων καὶ φυτῶν. Ox.

καὶ φυτοῦ ἰδιάζουσαι ποιότητές εἰσιν. ἄλλης γὰρ, ἂν οὕτω τύχῃ, χοιρείου ποιότητος ἀντιλαμβανόμεθα καὶ ἄλλης αἰγείου. διὸ καὶ μὴ μαθόντες, ὁποῖόν ἐστι τὸ προσενεχθὲν κρέας, ἐν τῇ γεύσει γνωρίζομεν· τοῦτο δὲ οὐκ ἂν ἦν, εἰ μὴ διάφορος ἦν ἑκάστου τῶν γευστῶν ἡ ποιότης. ὅθεν οὐκ ἄν τις αὐτὰς γενικῶς περιλάβοι, ἀπείρους οὔσας, καὶ πάντως ἀλλήλων διαφερούσας. καὶ γὰρ ἐν οἷς ἐπικρατεῖ μία τις τῶν 90
ἁπλῶν ποιοτήτων, καὶ ἐν τούτοις γνώριμος ἡ κατ' εἶδος τῶν γευστῶν διαφορά. ἰσχάδος γοῦν καὶ ἀσταφίδος καὶ φοίνικος, τούτων μία μὲν ἐπικρατεῖ ποιότης, ἡ κατὰ γλυκύτητα, ἀλλ' ἡ γεῦσις διακρίνει τῶν εἰδῶν τὸ διάφορον.

ΚΕΦ. Ι.

ΠΕΡΙ ΑΚΟΗΣ.

Ἡ δὲ ἀκοὴ τῶν φωνῶν καὶ τῶν ψόφων ἐστὶν αἰσθητική· διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα καὶ τὴν βαρύτητα, λειό-

VAR. LECT. ET ANIMADV.

ἄλλης γὰρ ἂν οὕτω τύχῃ] ἄλλοις γὰρ, ἂν οὕτω τύχοι. A. 1.
καὶ ἄλλης αἰγείου] καὶ ἄλλοις αἰγείου. A. 1.
γευστῶν ἡ ποιότης] ἡ abest. A. 1. γευστέων, loco γευστῶν. M. 1. Mox, αὐτὰ γενικῶς. A. 2. αὐτὰς γενικάς. M. 1.
τὶς τῶν ἁπλῶν] τὶς τῶν ἄλλων. A. 3.
τῶν γευστῶν διαφορὰ] τῶν γινομένων διαφορά. D. 1. τῶν γευστῶν γινομένων διαφορά. A. 2. Forte γινομένων ortum est ex γίνεται, hoc est, γνώριμος γίνεται.
ἀσταφίδος] σταφίδος. A. 1.
φοίνικος κ. τ. λ.] φοίνικος. τούτων μὲν ἐπικρατεῖ ποιότης. Ex corr. rec., antea ποιότητας. D. 1. φοίνικος. τούτων μία μὲν ἐπικρ. ποιότης. A. 2. In caricis itaque et uvis passis et dactilis dulcedo praedominatur. Con. Τούτων non habet Vall.
Cap. 10. Index idem. A. 1. a rec. man. A. 2. Sic, absque nota et numero capitis. D. 1. περὶ ἀκοῆς. λόγος 2. M. 1. De auditu, cap. 10. Vall. Confer Jo. p. 183. E.
ἡ δὲ ἀκοὴ] In principio capitis additur: τί ἐστιν ἀκοή; ἀκοή ἐστιν ἡ γενομένη διὰ τοῦ ἐγκεκριμένου τοῖς ὠσὶ πνεύματος, ξηροτέρου μᾶλλον ὄντος ἢ λεπτοτέρου. (et ex correct. rec. λεπτομερεστέρου) δι' οὗ αἱ ἀκουστικαὶ ἀντιλήψεις γίνονται.

τητά τε καὶ τραχύτητα καὶ μέγεθος. ὄργανα δὲ καὶ ταύτης τὰ νεῦρα, τὰ ἐξ ἐγκεφάλου, τὰ μαλακά, καὶ τῶν ὤτων ἡ κατασκευή· μάλιστα δὲ αὐτῶν τὸ χονδρῶδες γένος. πρὸς γὰρ ψόφους καὶ ἤχους ἐπιτήδειός ἐστιν ὁ χόνδρος. μόνος δὲ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα, τῶν ἄλλων πάντων ζώων, τῶν ἐχόντων ὦτα, κινούντων αὐτά.

VAR. LECT. ET ANIMADV.

νονται. ἡ δὲ ἀκοὴ τῶν φωνῶν κ. τ. λ. D. 1. Hujusmodi definitiones plures in marginibus hujus Codicis reperiuntur, veluti ad p. 79. τί ἐστιν ὅρασις; ὅρασίς ἐστιν ἡ γινομένη κ. τ. λ. Item p. 86. 88. 98. 99.

καὶ τὴν βαρύτητα, λειότητά τε] absunt. D. 1. βραχύτητα, loco βαρύτητα. A. 2. Pro eodem πικρύτητα. A. 3.

ὄργανα δὲ κ. τ. λ.] ὄργανά τε καὶ ταύτης. D. 1. A. 1. ὄργανα δὲ καὶ ταύτης. A. 2. Sic, sed mox etiam: τάτε νεῦρα. A. 3. Mox post νευρὰ abest τά. A. 1.

τὰ μαλακὰ] καὶ μαλακά. D. 1. Continuo, τῶν ὤτων ἡ κατασκευὴ, reddidit Cono: *aures*. Deinde idem omittit γένος. Valla, καὶ τῶν ὤτων ἡ κατασκευὴ, reddidit, *et aurium comparatio atque affectio*. Mox idem servat *genus*. D. 1. autem vitiose exhibet χοντρῶδες. Γένος, quod hic additum est, non est hujus loci. Commodissime poterat omitti. Si tamen aliquid addendum sit, malim μέρος. Quia vero cartilago ista aures, tanquam sepimentum, cingit, conjici etiam possit ἕρκος.

μόνος δὲ ὁ ἄνθρωπος] ὁ abest. D. 1. A. 1. 2. 3. Mox, ἐχόντων τὰ ὦτα. A. 1.

ΚΕΦ. ΙΑ.

ΠΕΡΙ ΟΣΦΡΗΣΕΩΣ.

Ἡ δὲ ὄσφρησις γίνεται μὲν διὰ τῶν ῥινῶν, περαίνεται δὲ
εἰς τὰ πέρατα τῶν προσθίων τοῦ ἐγκεφάλου κοιλιῶν. αὗται
γὰρ ἀτμοειδέσταται τὴν φύσιν οὖσαι τῶν ἀτμῶν ῥᾳδίως
ἀντιλαμβάνονται. λέλεκται γὰρ καὶ πρόσθεν, ὡς ἕκαστον
τῶν αἰσθητηρίων καθ᾽ ὁμοιότητά τινα καὶ οἰκειότητα τῶν
ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται. οὐ μὴν, ὥσπερ τοῖς ἄλλοις
αἰσθητηρίοις νεῦρον αἰσθητικὸν κατέπεμψεν ὁ ἐγκέφαλος,
οὕτω καὶ τῇ ὀσφρήσει· ἀλλὰ τοῖς πέρασιν ἑαυτοῦ τῶν νεύ-
ρων ἀναπληροῖ τὴν χρείαν, καὶ τὴν τῶν ἀτμῶν ἀνάδοσιν
δέχεται. τῶν δὲ ἀτμῶν ἡ γενικωτάτη διαφορὰ εὐωδία τέ 91
ἐστι καὶ δυσωδία, καὶ τὸ μέσον τούτων, ὃ μήτε εὐῶδές ἐστι,

VAR. LECT. ET ANIMADV.

Cap. 11. Index idem. A. 1. 3. Etiam, ſed a man. rec. A. 2. Sic, ſine numero capitis. D. 1. περὶ ὀσφρύσεως. λόγος ια. M. 1. De odoratu, cap. 11. Vall. Confer Jo. p. 183. E.

ἡ δὲ ὄσφρησις] Hic a principio additur: τί ἐστιν ὄσφρησις; ὄσφρησίς ἐστιν ἡ ἀποτελουμένη διὰ τοῦ ἐν ταῖς ῥισὶ πνεύματος, ὄντος ἀνίγμου (forte, ἀνίκμου.) καὶ ἀτμωδεστέρου, (forte ἀτμοειδ. aut, ἀτμωδ.) δι᾽ οὗ αἱ τῶν ὀσφραντῶν ἀντιλήψεις καὶ πόῤῥωθεν γίνονται. ἡ δὲ ὄσφρησις κ. τ. λ. D. 1.

διὰ τῶν ῥινῶν] His addit Cono: transmittentes ad cerebrum evaporationes. Hoc eſt, ἀναπεμπόντων τοὺς ἀτμοὺς ἐπὶ τὸν ἐγκέφαλον.

παραίνεται] περαίνεται. D. 1. A. 1. 2. M. 1. Terminatur. Con. Vall. Mox, προσθίων μερῶν τοῦ ἐγκ. A. 2.

αὗται γὰρ] γὰρ abeſt. A. 2.

λέλεκται γὰρ καὶ πρόσθεν] δὲ, loco γάρ. A. 2. ἔμπροσθεν, loco πρόσθεν. D. 1. Reſpicit autem in his dicta p. 77. init. Mox, οὐ μὲν ὥσπερ. Ox.

τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται] ſuis concilietur ſenſibilibus. Valla. Ergo, τοῖς ἰδίοις αἰσθητοῖς οἰκειοῦται. Mox idem: dimiſit e cerebro. Ergo κατέπεμψεν ἐκ τοῦ ἐγκεφάλου. Deinde: οὕτω τῇ ὀσφρήσει. Sic. A. 3.

τοῖς πέρασιν ἑαυτοῦ] id eſt, τοῦ ἐγκεφάλου. Supra dixit, πέρατα τῶν προσθίων τοῦ ἐγκεφάλου κοιλιῶν.

εὐωδία τέ ἐστι καὶ] τε abeſt. D. 1. ἐστι omittit A. 3.

μήτε δυςῶδες. γίνεται δὲ εὐωδία, τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν ἀκριβῶς πεφθέντων· μέσως δὲ, ἡ μέση διάθεσις· καταδεέστερον δὲ ἢ μηδόλως, δυςωδία.

ΚΕΦ. ΙΒ.

ΠΕΡΙ ΤΟΥ ΔΙΑΝΟΗΤΙΚΟΥ.

Τοῦ μὲν οὖν φανταστικοῦ ἥ τε δύναμις καὶ τὰ ὄργανα καὶ τὰ μόρια καὶ τῶν μορίων ἡ κοινωνία τε καὶ διαφορὰ τὸν ἐνδεχόμενον τρόπον ὡς ἐν βραχέσιν ἱκανῶς εἴρηται· τοῦ

VAR. LECT. ET ANIMADV.

μήτε δυςωδία] μήτε δυςῶδες. D. 1. Sic, omiſſo ἐστὶ, poſt εὐῶδες. A. 3. μήτε δυςωδία τῶν ὑγρῶν. γίνεται δὲ δυςωδία τῶν ὑγρῶν. Sic. M. 1. Quod neque bene olet, neque foetet. Con. Qui neque ſuavis, neque teter odor eſt. Mox, μέσος δὲ ἡ. D. 1. M. 1 Μέσως, intellige πεφθέντων. Eodem refertur καταδεέστερον ἢ μηδόλως. Valla videtur legiſſe πεμφθέντων ſeu ἐκπεμφθέντων. Ergo inepte reddidit.

καταδεέστερον] καταδεεστέρα. D. 1.

ἢ μηδ' ὅλως] ἢ μηδόλως. D. 1. ἡ μηδόλως. A. 1. 3. ἢ μηδόλως ἢ δυςωδία. A. 2. Forte voluit, ἡ δυςωδία. Hoc ἢ addi quoque poſſit ante εὐωδία, paullo ante. ἢ μηδ' ὅλως abeſt. M. 1. Poſt hoc caput in Cod. D. 1. continuo legitur caput 14. Indicem habet: περὶ τοῦ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου. Sed nota capitis nulla eſt.

Cap. 12. Index idem. A. 1. 3. Etiam, ſed a man. rec. A. 2. In D. 1. περὶ τοῦ διανοητικοῦ λεγομένου καὶ λογιστικοῦ. Nota capitis nulla eſt. περὶ τοῦ διανοητικοῦ. λόγος ιβ. M. 1. Valla: de aeſtimationis ſede. cap. 12. Cono hic incipit libri 4. cap. 6. In principio autem addit ea, quae ſupra pag. 75. omiſerat, ab Διαιροῦνται δὲ αἱ ψυχικαὶ δυνάμεις. Index capitis eſt: De viribus interioribus, imaginativa, cogitativa et memorativa.

τοῦ μὲν οὖν φαντ.] οὖν abeſt. A. 2. Cono addit: et ſenſuum exteriorum.

τὸν ἐνδεχόμενον τρόπον] κατὰ τὸν ἐνδεχόμενον λόγον. D. 1. Ut nobis dicere convenerat. Vall. Mox deeſt ἱκανῶς. D. 1. Ante hoc Valla addit *et*.

δὲ διανοητικοῦ εἰσὶ γενικῶς μὲν, αἵ τε κρίσεις καὶ συγκαταθέσεις καὶ ἀποφυγαὶ καὶ ὁρμαί· εἰδικῶς δὲ αἵ τε νοήσεις τῶν ὄντων καὶ αἱ ἀρεταὶ, καὶ ἐπιστῆμαι καὶ τῶν τεχνῶν οἱ λόγοι, καὶ τὸ βουλευτικὸν, καὶ προαιρετικόν· τοῦτο δέ ἐστι, τὸ καὶ διὰ τῶν ὀνείρων θεσπίζον ἡμῖν τὸ μέλλον, ἥνπερ μόνην ἀληθῆ μαντείαν οἱ πυθαγορειοι λέγουσιν εἶναι, τοῖς Ἑβραίοις ἀκολουθήσαντες· ὄργανον δὲ καὶ τούτου ἡ μέση κοιλία τοῦ ἐγκεφάλου, καὶ τὸ ψυχικὸν πνεῦμα τὸ ἐν αὐτῇ.

VAR. LECT. ET ANIMADV.

τοῦ δὲ διανοητικοῦ] vid. Jo. p. 185. B.

αἵτε κρίσεις κ. τ. λ.] Cono: discursus, dispositiones, prosequutiones et sugae atque concitationes ad agendum. Inepte! Quanto probabilius haec reddidit Ellebodius!

καὶ συγκαταθέσεις] καὶ αἱ συγκαταθέσεις. D. 1. A. 1. 3. *Consultationes.* Vall. Male! Mox, καὶ αἱ ὁρμαί. ἰδικῶς. D. 1. deinde: ἰδικῶς δὲ αἵτε. A. 3.

τῶν ὄντων] τῶν νοητῶν. A. 2. quod valde probabile videtur. Sic et Cono. Sed Valla: *eorum, quae sunt.* Mox, καὶ ἀρεταὶ καὶ ἐπιστῆμαι. A. 2. αἱ, ante ἐπιστῆμαι, omittit etiam D. 1. A. 1.

καὶ προαιρετικὸν] absunt. D. 1. καὶ τὸ προαιρετικόν. A. 2. 3. *Intellectivum.* Con. *Assensio.* Vall. Neutrum Graeco consentaneum.

τοῦτο δέ ἐστι] Forte, τούτου δέ ἐστι, id est, τοῦ διανοητικοῦ. Sic paullo ante, τοῦ δὲ διανοητικοῦ εἰσί. Si tamen probetur τοῦτο, intelligendum est τὸ διανοητικόν. Nam ad προαιρετικὸν referri nequit. Cono: Haec autem est, quae per somnia nobis futura divinatur. Valla: Hoc est etiam, quod nobis per visiones divina profert, futuraque praedicit.

καὶ τὸ δι᾽ ὀνείρων] τὸ καὶ διὰ τῶν ὀνείρων. D. 1. A. 1. 2. 3. Mox, θεσπίζων. A. 2. Deinde πυθαγορικοὶ et ὄργανα δέ. D. 1. ὄργανα habet etiam Ox. *Pythagorici.* Con. *Pythagorei.* Vall. πυθαγόριοι, omisso mox εἶναι. A. 3.

ΚΕΦ. ΙΓ.

ΠΕΡΙ ΤΟΥ ΜΝΗΜΟΝΕΥΤΙΚΟΥ.

Τὸ δὲ μνημονευτικόν ἐστι μνήμης καὶ ἀναμνήσεως αἴτιόν
τε καὶ ταμιεῖον· ἔστι δὲ μνήμη, ὡς μὲν Ὠριγένης φησὶν,
φαντασία ἐγκαταλελειμμένη ἀπό τινος αἰσθήσεως τῆς κατ'
ἐνέργειαν φαινομένης· ὡς δὲ Πλάτων, σωτηρία αἰσθήσεώς
τε καὶ νοήσεως. ἡ γὰρ ψυχὴ τῶν μὲν αἰσθητῶν διὰ τῶν
92 αἰσθητηρίων ἀντιλαμβάνεται, καὶ γίνεται δόξα· τῶν δὲ νοη-
τῶν, διὰ τοῦ νοῦ, καὶ γίνεται νόησις. ὅταν οὖν τοὺς τύπους,
ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζῃ, μνημονεύειν λέγεται.
ἔοικε δὲ νόησιν λέγειν ὁ Πλάτων ἐν τούτοις, οὐ τὴν κυρίως
νόησιν, ἀλλὰ τὴν διανόησιν. τὰ μὲν γὰρ αἰσθητὰ μνημο-

VAR. LECT. ET ANIMADV.

Cap. 13. Index idem. A. 1. 3. Sic a rec. A. 2. Notam capitis omittit D. 1. περὶ τοῦ μνημονευτικοῦ. λόγος ιγ. M. 1. De loco memoriae. cap. 13. Vall. Confer Jo. p. 185. C.

ταμιεῖον] ταμεῖον. A. 2. Similiter ſere Plutarch. T. II. p. 9. D. μνήμην appellavit, τῆς παιδείας ταμεῖον. Definitionem memoriae ex mente Stoïcorum notat ibid. p. 961. C. Mox, ἔστιν οὖν, loco ἔστι δέ. M. 1.

ὠριγένης] ἀριστοτέλης. D. 1. Ita legendum arbitror. Nam Origenes parum fuit diligens in definiendis rebus, eumque haud magni facit Nemeſius. Veruntamen hanc definitionem apud Ariſtotelem non inveni. De memoria diſputat Ariſtot. T. I. p. 417. D. ἔστι μὲν οὖν ἡ μνήμη κ. τ. λ.

τῆς κατ' ἐνέργειαν] φαινομένης addunt D. 1. A. 1. 2. M. 1. Con. Valla hanc definitionem ita exhibet: imaginatio eſt ab ſenſu aliquo per actionem ſignificato expreſſa atque in cerebri parte derelicta. Mox α. in σωτηρία ex correct. D. 1. Platonis definitio eſt in Philebo p. 163. Platonis definitionem ita refert Valla: ſenſus et intelligentiae ſalus atque cuſtodia.

διασώζει] διασώζῃ. D. 1. A. 1. Mox, καὶ μνημονεύειν. M. 1.

λέγεται] poſt hoc in marg. a recent. tanquam praetermiſſum additur: μνήμη γάρ ἐστι κατοχὴ καὶ συντήρησις τῶν προκεκριμένων τῇ ψυχῇ πραγμάτων. D. 1.

νεύεται καθ' ἑαυτὰ, τὰ δὲ νοητὰ κατὰ συμβεβηκὸς, ἐπειδὴ καὶ τῶν διανοητῶν ἡ μνήμη ἐκ προλαβούσης Φαντασίας περιγίνεται· τὰ δὲ κυρίως νοητὰ, ὅτι μὲν ἐμάθομεν ἢ ἠκούσαμεν, μεμνήμεθα· τῆς δὲ οὐσίας αὐτῶν μνήμην οὐκ ἔχομεν· οὐ γὰρ ἐκ προηγησαμένης Φαντασίας ἡ τῶν νοητῶν ἀνάληψις, ἀλλ' ἐκ μαθήσεως ἢ Φυσικῆς ἐννοίας. εἰ δὲ μνημονεύειν λεγόμεθα, ἃ πρότερον εἴδομεν ἢ ἠκούσαμεν ἢ ἄλλως πως ἔγνωμεν· τὸ δὲ πρότερον τὴν ἀναΦορὰν ἔχει πρὸς τὸν παρελθόντα χρόνον, δῆλον, ὡς μνημονευτά ἐστι τὰ γινόμενα καὶ Φθειρόμενα, τὰ ἐν χρόνῳ συνιστάμενα· καὶ ἔστι μὲν τῶν ἀπόντων ἡ μνήμη, οὐ μὴν ὑπὸ τῶν ἀπόντων γίνεται. ἀνάμνησις δὲ λέγεται, ὅταν λήθη μεσολαβήσῃ τὴν μνήμην. ἔστι γὰρ ἀνάμνησις, μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις· γίνεται δὲ ἐξίτηλος ὑπὸ τῆς λήθης· λήθη δέ ἐστι μνήμης ἀποβολή· ἀλλ' ἡ μὲν διηνεκὴς, ἡ δὲ ἐπὶ ποσὸν, ἧς ἐστιν ἡ ἀνάμνησις. ἑτέρα δέ ἐστιν ἀνάμνησις, ἥτις οὐκ ἔστι λήθη τῶν ἐξ αἰσθήσεως καὶ νοήσεως, ἀλλὰ τῶν Φυσικῶν ἐννοιῶν· Φυσικὰς δὲ λέγομεν ἐννοίας, τὰς ἀδιδάκτως πᾶσι προσούσας,

VAR. LECT. ET ANIMADV.

τὰ δὲ νοητὰ] τὰ δὲ διανοητά. D. 1. τὰ δὲ διανοητικά. A. 2. μνημονεύεται καὶ ἑαυτὰ, τὰ δὲ διανοητά. A. 3.

ὅτι μὲν ἐμάθομεν] inter ὅτι et μὲν credo deletum esse κυρίως. D. 1.

εἴδομεν καὶ ἠκούσαμεν] ἴδομεν ἢ ἠκούσαμεν. D. 1. εἴδομεν ἢ ἠκούσαμεν. A. 1. εἴδωμεν ἢ ἠκούσαμεν. A. 2. Mox, ἄλλως πῶς. D. 1. Ἢ, seu *vel*, habet etiam Con. *aut.* Vall.

γινόμενα, τὰ Φθειρόμενα] γινόμενα καὶ Φθειρόμενα. D. 1. A. 1. 2. 3. Con. Vall.

καὶ ἔστι μὲν τῶν ἀπόντων] καὶ ἔστι μὲν τῶν ἀπάντων. D. 1. Et hic et paullo post ἀπάντων, loco ἀπόντων. M. 1.

οὐ μὴν ἀπὸ τῶν ἀπόντων] ὑπὸ, loco ἀπό. A. 1. 2. 3.

ἔστι γὰρ ἀνάμνησις] vid. Jo. p. 185. D. Mox, γινομένης. A. 3.

μνήμης ἀποβολή] Plato in Phaedone cap. 20. λήθην definit, ἐπιστήμης ἀποβολήν.

ἄλλη μὲν διηνεκὴς] ἀλλ' ἡ μὲν διηνεκής. D. 1. A. 1. 2. Ox.

ἧς ἐστιν ἡ ἀνάμνησις] ἔργον in fine addit D. 1. ἧ ἐστιν ἡ ἀνάμνησις. A. 2. Paullo post abest, καὶ νοήσεως. D. 1.

93 ὡς τὸ, εἶναι Θεόν· ταύτην δὲ ὁ Πλάτων ἀνάμνησιν εἶναι λέγει τῶν ἰδεῶν· τί δέ ἐστιν ἡ ἰδέα, ἐν τοῖς ἑξῆς ἐροῦμεν. τὸ μὲν οὖν φανταστικὸν παραδίδωσι τῷ διανοητικῷ τὰ φαινόμενα· τὸ δὲ διανοητικὸν ἢ διαλογιστικὸν παραλαβὸν καὶ κρίναν παραπέμπει τῷ μνημονευτικῷ. ὄργανον δὲ καὶ τούτου ἡ ὄπισθεν κοιλία τοῦ ἐγκεφάλου, ἣν καὶ παρεγκεφαλίδα καὶ παρεγκρανίδα καλοῦσι, καὶ τὸ ἐν αὐτῷ ψυχικὸν πνεῦμα. ἐπειδὴ δὲ τῶν μὲν αἰσθήσεων ἀρχὰς καὶ ῥίζας, τὰς ἔμπροσθεν εἶναι κοιλίας φαμὲν τοῦ ἐγκεφάλου, τοῦ δὲ διανοητικοῦ, τὴν μέσην, τοῦ δὲ μνημονευτικοῦ, τὴν ὄπισθεν, ἀναγκαῖόν ἐστιν ἐπιδεῖξαι, εἰ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἵνα μὴ δόξωμεν ἀλόγως πιστεύειν τοῖς λεγομένοις. ἱκανωτάτη δὲ ἀπόδειξις ἡ ἐξ αὐτῆς τῆς τῶν μορίων ἐνεργείας λαμβανομένη. τῶν μὲν γὰρ προσθίων κοιλιῶν

VAR. LECT. ET ANIMADV.

εἶναι λέγει τῶν ἰδεῶν] λέγει a man. rec. infertum. D. 1. Mox, τί δέ ἐστιν ἡ ἰδέα. D. 1. A. 1. 2.

τὸ μὲν οὖν φανταστικὸν] Cono hic quaedam addit, ita: Ergo imaginaria virtus *accepta a fenfibus materiali fpecie*, ea quae apparent excogitativae tradit. οὖν omittit M. 1.

ἢ διαλογιστικὸν] poft ἢ deletum τό. Mox, παραλαβών. D. 1.

ὄργανον δὲ τούτου] poft δὲ additur καί. D. 1. A. 1. 2. 3.

παρακρανίδα] παρεγκρανίδα. D. 1. A. 1. 2. 3. παρεγκεφανίδα, vitiofe. Con. Parencephalida et parencranida vocant. Vall. Mox, καὶ τὸ ἐν αὐτῷ ψυχικόν. A. 1. 2. 3. D. 1. Recte. Intelligitur enim ἐγκεφάλῳ. Ergo αὐτῇ vitiofum. παρεγκεφαλὶς fatis notum eft, idque habet Ariftot. Hift. animal. I, 16. et Pollux II, 4. p. 175. Sed παρεγκρανὶς et παρακρανὶς, quod Ellebodius in verfione retinuit, non memini legere. Eft autem ab κρανίον.

ἐπειδὴ δὲ τῶν] Cono incipit libri 4. cap. 7. Quo pacto variis modis laedantur fenfus interiores et deftituantur, quibus divifio duplicis cerebri, interioris et exterioris, annectitur. Paullo poft malim ἀποδεῖξαι, loco ἐπιδεῖξαι.

εἶναι κοιλίας φαμὲν τοῦ ἐγκεφάλου] εἶναι κοιλίας τοῦ ἐγκεφάλου φαμέν. A. 1. φαμὲν, poft εἶναι, habet A. 2.

εἰ ταῦτα τοῦτον] εἰ abeft. A. 2. Mox, ἱκανοτάτη. D. 1.

προστίων κοιλιῶν] προσθίων κοιλιῶν. A. 1. 2. 3. Ox. προσθείων κοιλιῶν. D. 1.

καθ᾽ ὅντινα δήποτε τρόπον βλαβεισῶν, αἱ μὲν αἰσθήσεις παραποδίζονται, τὸ δὲ διανοητικὸν ἔτι μένει σωζόμενον· τῆς δὲ μέσης κοιλίας μόνης παθούσης, ἡ μὲν διάνοια σφάλλεται, τὰ δὲ αἰσθητήρια μένει φυλάττοντα τὴν κατὰ φύσιν αἴσθησιν· ἐὰν δὲ καὶ αἱ πρόσθιοι καὶ ἡ μέση κοιλία πάθωσιν, ὁ λογισμὸς ἅμα ταῖς αἰσθήσεσι παρακόπτει· τῆς δὲ παρεγκεφαλίδος παθούσης, ἡ μνήμη μόνη παραπόλλυται, τῆς αἰσθήσεως καὶ τῆς διανοίας εἰς οὐδὲν καταβλαπτομένων· ἐὰν δὲ σὺν τοῖς προσθίοις καὶ ἡ μέση καὶ ἡ ὄπισθεν πάθη τι, καὶ τὴν αἴσθησιν καὶ τὸν λογισμὸν καὶ τὴν μνήμην ὁμοῦ

VAR. LECT. ET ANIMADV.

καθ᾽ ὅντινα δὴ τρόπον βλαβουσῶν] καθ᾽ ὅνδηνα (ſic) δήποτε τρόπον βλαβεισῶν. A. 1. καθ᾽ ὅντινα δήποτε τρόπον βλαβη:ῶν (Sic. Sed a rec. correct. ει.) A. 2. καθ᾽ ὁνδήποτε τρόπον βλαβησῶν. Sic. A. 3. Pro vitioſo βλαβουσῶν habet etiam βλαβεισῶν M. 1. D. 1. Mox, παρεμποδίζονται. D. 1. A. 3. Non male!

ἐπιμένει σωζόμενον] ἔτι μένει σωζόμενον. D. 1. A. 1. 3. M. 1. *Adhuc manet*. Con. Solum, *manet*, habet Vall.

παρακόπτει] παρακόπτειν, ſicuti παραπαίειν, ſaepe eſt παραφρονεῖν. Ita Diog. Laërt. p. 156. παρακόψας paullo poſt explicat, φρενῶν ἐκτὸς ὀλισθείς. Cono: *abſcinditur.* Valla: *offenditur*. Male!

εἰς οὐδὲν βλαπτομένων] εἰς οὐδὲν καταβλαπτομένων. D. 1. A. 1. 2. Sic, ſed οὐ δὴ, loco οὐδέν. A. 3. His continuo additur: δῆλον δὲ, ὡς οὐκ ἔστιν ἡμῖν ὁ λόγος νῦν περὶ τῆς καθ᾽ ὁρμὴν κινήσεως. D. 1. M. 1. Sic, ſed omiſſo ὁ, ante λόγος. A. 3. Haec Valla ita reddidit: Non dubium eſt, quin nobis nunc de motu per impulſum non ſit ſermo.

καὶ ἡ ὄπισθεν] ὄπισθεν ex raſura, antea longius vocabulum aut duo fuerant. D. 1.

παραφθείρονται] παραφθείρονται, nimirum οἱ ἄνθρωποι καὶ κατὰ τὴν αἴσθησιν κ. τ. λ. Niſi legendum ſit, παραφθείρουσιν, uti Ellebodius videtur conjeciſſe. Valla: et ſenſus et exiſtimatio et memoria afflictantur. Legit ergo, ut in ſuperioribus eſt, καὶ ἡ αἴσθησις καὶ ὁ λογισμὸς καὶ ἡ μνήμη ὁμοῦ παραφθείρονται. Cono etiam habet nominativos, ſed *corrumpentur.*

94 παραφθείρονται, πρὸς τῷ καὶ τὸ πᾶν κινδυνεύειν ἀπολέσθαι ζῶον. γίνεται δὲ τοῦτο δῆλον καὶ δι᾽ ἄλλων μὲν πολλῶν παθῶν τε καὶ συμπτωμάτων, μάλιστα δὲ ἐκ τῆς φρενίτιδος. τῶν γὰρ φρενιτιζόντων, οἱ μὲν τὰς αἰσθήσεις διασώζουσι, τῆς διανοίας μόνης βλαβείσης. τοιοῦτον ἀναγράφει Γαληνὸς φρενιτίσαντα, ὅς, ἐριουργοῦ τινὸς ἐργαζομένου παρ᾽ αὐτῷ, διαναστὰς καὶ λαβὼν ὑέλινα σκεύη, ἐπί τε τὰς θυρίδας ὁρμήσας, ἠρώτα τοὺς παριόντας, ἕκαστον τῶν σκευῶν ἐξ ὀνόματος καλῶν, εἰ θέλουσιν αὐτὸ ῥιφῆναι κάτω· τῶν δὲ παρεστώτων βούλεσθαι φησάντων, πρῶτον ἠκόντισε τῶν

VAR. LECT. ET ANIMADV.

πρὸς τῷ καὶ τὸ] antea τὸ, loco τῷ. nunc a rec. corr. D. 1. τὸ, loco τῷ. M. 1.

ἀπολέσθαι ζῶον] ἀπόλλυσθαι ζῶον. D. 1.

πολλῶν παθῶν τε καὶ] παθῶν πολλῶν τε καί. D. 1. συμπτομένων, loco συμπτωμάτων. M. 1.

φρενιτιώντων] φρενιτιζόντων. D. 1. A. 1. 2. 3.

μόνης βλαβείσης] His addit: εἰ (ex corr. οἱ.) δὲ τὴν μνήμην ἀπόλλυσιν (immo, ἀπολλῦσι) ἢ τὴν διάνοιαν καὶ τὰς αἰσθήσεις. D. 1. Haec non agnoſcit Cono. Habet tamen, *diſcretione* ſolum laeſa *et mente*. Valla nihil addit. Ceterum ad οἱ μὲν infra, poſt narrationem Galeni, refertur ἄλλοι δέ.

φρενητίσαντα] φρενιτιάσαντα. D. 1. A. 2. φρενιτίσαντα. A. 1. φρενιτήσαντα. A. 3.

ἐριουργοῦ — παρ᾽ αὐτῷ] omittit Con. Valla reddidit: ut ſacerdote apud ſe operante. Inepte ergo legit, ὡς ἱερουργοῦ. Mox idem θυρίδας reddidit *januam*.

διαναστὰς] ſyllaba δι addita a prima manu. D. 1.

ὕελα σκεύη] ὕαλα σκεύη. A. 1. ὑέλινα σκεύη. A. 2. τὰ ὕελα σκεύη. A. 3. Vitrea vaſa. Con. Vall. Mox, ἐπὶ τὰς θυρίδας. A. 2. Deinde παρόντας, loco παριόντας. A. 3.

ἕκαστον τῶν σκευῶν] τῶν σκευῶν omittit et mox loco αὐτὸ legit τὰ σκεύη. Vall.

εἰ θέλουσιν] Forte, εἰ θέλοιεν, ut mox βούλοιντο.

τῶν δὲ παρεστότων] δὲ abeſt. A. 2. τῶν παριόντων. A. 1. *Transeuntibus* vero ludum eſſe putantibus et ſe velle dicentibus, accipiens ipſe ſingula vaſa ejecit. Hic ſenſibus etc. Con. Ergo totum hoc περὶ ἐριουργοῦ omiſit. παρεστότων prorſus abeſt. Vall.

ἠκόντισε] confregit ſe. Vall.

σκευῶν ἕκαστον· εἶτα ἤρετο τοὺς παρόντας, εἰ καὶ τὸν ἐριουργὸν βούλοιντο ῥιφῆναι· τῶν δὲ, παιδιὰν νομισάντων εἶναι τὸ πρᾶγμα, καὶ διὰ τοῦτο θέλειν φησάντων, λαβὼν ὤθησεν ἄνωθεν κάτω τὸν ἐριουργόν. οὗτος τὰς μὲν αἰσθήσεις ὑγίαινεν· ᾔδει γὰρ, ὅτι σκεύη ταῦτα καὶ ἐριουργὸς οὗτος· ἐνόσει δὲ τὴν διάνοιαν. ἄλλοι δὲ διάκενον ἕλκουσι φαντασίαν, ὁρᾷν οἰόμενοι τὰ μὴ ὁρώμενα· τὰ δὲ ἄλλα φρονοῦσι κατὰ λόγον· οὗτοι τὰς προσθίους μόνας κοιλίας ἐβλάβησαν, τῆς μέσης ἀπαθοῦς μεινάσης. ἐκ δὲ τῶν παθῶν τῶν παρακολουθούντων ἑκάστῳ μορίῳ τὰ τῆς ἐνεργείας αὐτῶν ἐμποδίζεται· εἰς ἐκείνην γὰρ τὴν ἐνέργειαν καταβλάπτεται τὸ ζῶον, ἣν πέφυκεν ἐνεργεῖν τὸ πεπονθὸς μόριον, ὡς καὶ τοῦ ποδὸς παθόντος, εἰς τὸ περιπατεῖν ἐμποδιζόμεθα. ταύτην γὰρ ὁ ποῦς ἔχει τὴν ἐνέργειαν.

VAR. LECT. ET ANIMADV.

εἶτα ἤρετο τοὺς παρόντας] εἶτ' ἤρετο τοὺς παριόντας. D. 1. εἶτα abeſt. M. 1. παριόντας habet etiam A. 3. *Praeſentes*. Vall. Mox idem rurſus ter ἐριουργὸν reddidit *ſacerdotem*.

καὶ ἐριουργὸς οὗτος] abſunt. Con.

ἐνόσει δὲ διάκενον κ. τ. λ.] ἐνόσει δὲ τὴν διάνοιαν. ἄλλοι δὲ διάκενον ἕλκουσι φαντασίαν, ὁρᾷν οἰόμενοι τὰ μὴ ὁρώμενα· τὰ δὲ ἄλλα φρονοῦσι. D. 1. A. 1. 2. 3. Ita quoque, ſed ſervato ἔχουσι, loco ἕλκουσι. M. 1. Etiam Ant. notat, omiſſa eſſe, δὲ τὴν διάνοιαν. ἄλλοι. Cono: *Mente* autem et *diſcretione* aegrotabat. Alii etc. Ergo διάνοια duplici vocabulo expreſſit, ut ſuperius. Mox idem exhibet, *habent*, ſeu ἔχουσι, loco ἕλκουσι, ſicuti Ant. ediderat. Idem habet, τὰ μὴ ὁρώμενα. Valla: at exiſtimatione afflictabatur. Aliqui etc. Et mox: *ducunt* imaginationem. Ergo fortaſſe ἕλκουσι, non ἔχουσι. Deinde agnoſcit etiam, τὰ μὴ ὁρώμενα.

κατὰ λόγον] κατὰ τὸν λόγον. A. 1. φρονεῖν κατὰ λόγον idem eſt, quod εὖ φρονεῖν.

τὰς προσθίους μόνας] τὰς προσθίους μόνον. A. 2. Sic antea, nunc ex correct. προσθείους. D. 1.

εἰς ἣν πέφυκεν] εἰς abeſt. D. 1. A. 1. 2. 3. Con.

ὁ ποῦς ἔχει τὴν ἐνέργειαν] Poſt haec legitur in Cod. D. 1. caput ſeptimum: περὶ τῶν πέντε αἰσθήσεων. περὶ ὄψεως.

ΚΕΦ. ΙΔ.

ΠΕΡΙ ΤΟΥ ΕΝΔΙΑΘΕΤΟΥ ΛΟΓΟΥ ΚΑΙ ΤΟΥ ΠΡΟΦΟΡΙΚΟΥ.

95 Αὕτη μὲν οὖν μία διαίρεσις τῆς ψυχικῆς δυνάμεως, ἣ συνδιαιρεῖται μέρη τινὰ τοῦ σώματος· ἑτέρα δὲ διαίρεσις καθ' ἕτερον τρόπον τοῦ λογικοῦ τῆς ψυχῆς, ὅ τε καλούμενος ἐνδιάθετος λόγος καὶ ὁ προφορικός. ἔστι δὲ ἐνδιάθετος μὲν λόγος, τὸ κίνημα τῆς ψυχῆς, τὸ ἐν τῷ διαλογιστικῷ γινόμενον, ἄνευ τινὸς ἐκφωνήσεως. ὅθεν πολλάκις καὶ σιωπῶντες λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα· καὶ

VAR. LECT. ET ANIMADV.

Cap. 14. Index idem, ſed in fine additur λόγου. A. 1. Ita etiam a man. rec. A. 2. περὶ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου. Sed in principio libri addit τοῦ, poſt περὶ, et in fine ἄλλως. A. 3. Hoc caput in Cod. D. 1. legitur poſt caput undecimum editionis Ant. Indicem habet: περὶ τοῦ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου. Nota et numerus capitis deeſt. Loco κεφ. ιδ. eſt λόγος ιδ. M. 1. De ratiocinatione et prolatione. cap. 14. Vall. Praeterea in Cod. D. 1. a man. rec. legitur haec diviſio, cum qua compara initium cap. 15. Διαιρεῖται ἡ ψυχὴ εἰς τὸ λογικὸν καὶ ἄλογον. Τὸ λογικὸν εἰς δυνάμεις, μέρη καὶ εἴδη. Αἱ δυνάμεις, τὸ λογιστικὸν, τὸ φανταστικὸν, τὸ μνημονευτικὸν, τὸ διανοητικὸν, τὸ δοξαστικόν. Τὰ μέρη· ὁ λογισμὸς, ὁ θυμὸς, ἡ ἐπιθυμία. Τὰ εἴδη· τὸ ζωτικὸν, τὸ θρεπτικὸν, τὸ αἰσθητικὸν, τὸ ὀρεκτικόν.

αὕτη μὲν οὖν διαίρεσις] μία, poſt οὖν, addit D. 1. A. 1. 2. 3. M. 1. Con. Vall. Reſpicere videtur in his finem capitis quinti. Confer etiam Jo. p. 185. E.

ἣ συνδιαιρεῖται] ἢ συνδιαιρεῖται. D. 1. In Cod. A. 1. dubius eram inter ἢ et ἣ. Sed A. 2. et 3. expreſſe habet ἣ. Ant. in marg. εἰς ἣν διαιρεῖται. Ita in textu. M. 1. Con. cum qua ſimul — dividuntur. Vall. quae — dividit. Supra p. 75. τὸ σῶμα — ταῖς ψυχικαῖς δυνάμεσι συνδιαιρεῖται.

τὸ ἐν τῷ διαλογιστικῷ] τὸ ἐν τῷ διαλογισμῷ. Sed ex corr. primae manus διαλογιστικῷ. D. 1.

ἐν τοῖς ὀνείροις διαλεγόμεθα· κατὰ τοῦτο δὲ μάλιστα λογικοὶ πάντες ἐσμέν. οὐ γὰρ οὕτω κατὰ τὸν προφορικὸν λόγον, ὡς κατὰ τοῦτον. καὶ γὰρ οἱ ἐκ γενετῆς κωφοὶ καὶ οἱ διὰ πάθος ἢ νόσημα τὴν φωνὴν ἀποβαλόντες, οὐδὲν ἧττον λογικοί εἰσιν. ὁ δὲ προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ ταῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει· ὄργανα δὲ τῆς φωνῆς πολλά. οἵ τε γὰρ ἐν τοῖς μεσοπλεύροις ἔσωθεν μύες καὶ ὁ θώραξ καὶ ὁ πνεύμων ἥτε τραχεῖα ἀρτηρία καὶ ὁ λάρυγξ καὶ τούτων μάλιστα τὸ χονδρῶδες, καὶ τὰ παλινδρομοῦντα νεῦρα καὶ ἡ γλωττὶς καὶ πάντες οἱ κινοῦντες ταῦτα τὰ μόρια μύες, τῆς ἐκφωνήσεώς εἰσιν ὄργανα· τῆς δὲ διαλέκτου, τὸ

VAR. LECT. ET ANIMADV.

διαλεγόμεθα] colloquimur et diſputamus. Con. Paullo ante, ἐξερχόμεθα. M. 1.

πάντες λογικοί ἐσμεν] λογικοὶ πάντες ἐσμέν. D. 1. A. 1. 2. 3.

ὡς κατὰ τοῦτον] addit Cono: *rationales exiſtimus.*

οἱ ἐκ γενετῆς] οἱ ἐκ γεννητῆς. D. 1. A. 3.

ἢ νόσημά τι] τι abeſt. D. 1. A. 1. 2. 3. Con. Vall. καὶ, loco ἤ. M. 1. Mox, ἀποβάλλοντες. D. 1. A. 3.

ἐν τῇ φωνῇ] Hic in marg. a man. rec. definitio: *τί ἐστι φωνή; φωνή ἐστιν ἀπήχησις πνεύματος καθ' ὁρμὴν καὶ προαίρεσιν ἡμῶν γινομένη, συστελλομένων τῶν μεσοπλεύρων μυῶν καὶ διὰ τῆς τραχείας ἀρτηρίας τὸν ἀέρα πληττούσης καὶ εἰδοποιουμένης διὰ γλώττης καὶ ἐπιγλωττίδος.*

καὶ ἐν ταῖς διαλέκτοις] ἐν abeſt. D. 1. A. 1. 2. 3. Ox.

μύες] Sic, ſed ex corr. rec. μῦες. D. 1. μῦες exhibet A. 1. μυες. A. 2.

παλινδρομοῦντα] prius ν ſupra ſcriptum a man. rec. D. 1. Cono: cartilaginoſum, quod *eſt ſecundum* recurrentes nervos. Legit ergo: τὸ κατὰ τὰ παλινδρ. Sed Valla: chondrodes et recurrentes nervi.

καὶ ἡ γλωττὶς] καὶ ἡ ἐπιγλωττίς. A. 3. Ox. Valla: glottis.

τὰ μόρια ταῦτα] ταῦτα τὰ μόρια. A. 1. 2. D. 1. ταῦτα τὰ νεῦρα μόρια. A. 3. Mox μύες et ex corr. μῦες. D. 1. Οἱ κινοῦντες omittit Cono, qui ita habet: Et omnes hae particulae, muſculi, *exſufflationis* ſunt organa.

τῆς ἐκφυσήσεώς εἰσιν ὄργανα] τῆς ἐκφωνήσεώς εἰσιν ὄργανα. D. 1. Ox. ἐστι ſolum mutant, loco εἰσίν. A. 1. 2. ἐκφύσεως, loco ἐκφυσήσεως. M. 1. Valla: *efflationis.* Nihilo minus tamen ἐκφωνήσεως praeferendum videtur. De voce enim et ſermone h. l. agitur.

στόμα. ἐν τούτῳ γὰρ διαπλάττεται καὶ σχηματίζεται καὶ οἱονεὶ μορφοῦται ἡ διάλεκτος· τῆς μὲν γλώσσης καὶ τοῦ γαργαρεῶνος πλήκτρου λόγον ἐπεχόντων· τῆς δὲ ὑπερώας, ἠχείου· τῶν δὲ ὀδόντων καὶ τῆς ποιᾶς τοῦ στόματος διανοίξεως, ὡς ἐν λύρᾳ, τὴν τῶν χορδῶν ἀναπληρούντων χρείαν, συντελούσης τὶ καὶ τῆς ῥινὸς πρὸς εὐφωνίαν ἤτοι κακοφωνίαν, ὡς δῆλον ἐκ τῶν ᾀδόντων.

VAR. LECT. ET ANIMADV.

τὸ στόμα] Cono ex vicino repetit, *organum*, scilicet, est. Mox: διαπλάσσεται, omissis καὶ σχηματίζεται. A. 3.

λόγον ἐπεχόντων] λόγ. ἐχόντων. D. 1. λόγ. ἐπέχοντος, Ox. Syllaba πε a man. rec. addita. A. 2. Obtinentibus. Con. Habentibus. Vall. Mox, ἠχίου. D. 1.

τοῦ σώματος διανοίξεως] τοῦ στόματος διανοίξεως. D. 1. A. 1. 3. τοῦ στόματος ἀνοίξεως. A. 2. Oris apertione. Con. Oris rictu. Vall.

συντελούσης τι καὶ — ἤτοι] τε, loco τι, et εἴτε, loco ἤτοι. M. 1.

εὐφωνίαν ἤτοι καλλιφωνίαν] εὐφωνίαν ἢ κακοφωνίαν. D. 1. M. 1. Sed hic habet εἴτε, loco ἤτοι. κακοφωνίαν habet etiam A. 2. καλοφωνίαν. A. 3. Voluit, credo, κακοφωνίαν. Ad bonam et item malam sonoritatem. Con. Ad vocalitatem seu vocis venustatem. Vall. Καλλιφωνία legitur apud Dionys. Halicarn. T. II. p. 33. 37. Hic utrumque locum habere potest: καλλιφωνία, ut synonymum; κακοφωνία, ut contrarium. Utriusque enim caussa esse potest. Cum vero vix credibile sit, quemquam εὐφωνίαν explicare addito καλλιφωνίαν· equidem probavi κακοφωνίαν. Sed ita malim etiam ἢ, aut εἴτε, loco ἤτοι.

ᾀδόντων] αὐλητῶν et a man. rec. γρ. ᾀδόντων. D. 1. ὀδόντων. M. 1.

ΚΕΦ. ΙΕ. 96

ʽΕΤΕΡΑ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΨΥΧΗΣ.

Διαιροῦσι δὲ καὶ ἄλλως εἰς δυνάμεις ἢ εἴδη ἢ μέρη τὴν ψυχήν, εἴς τε τὸ φυτικόν, ὃ καὶ θρεπτικὸν καὶ παθητικὸν

VAR. LECT. ET ANIMADV.

Cap. 15. Index: ἄλλως· περὶ τῶν μερῶν τῆς ψυχῆς. ιδ. D. 1. περὶ τῶν μερῶν τῆς ψυχῆς. A. 3. περὶ τοῦ λογικοῦ. λόγος ιε. M. 1. Indicem nullum habet A. 1. et haec conjungit cum ſuperioribus. Sic et Vall. In A. 2. incipit quidem hic aliud caput, ſed index proximi capitis 16. a man. rec. adſcriptus ac rurſus deletus eſt. Praeterea a man. rec. in marg. legitur: ἰστέον δὲ, ὅτι ἐν ἄλλῳ (Intelligit haud dubie A. 1.) τὸ παρὸν κεφάλαιον μεμιγμένον ἦν τῷ πρὸ αὐτοῦ, ὅ μοι δοκεῖ καὶ συνᾴδει. (Forte, συνᾴδειν.) Cono incipit libri 4. cap. 8. Dividit vires animae ſive partes, ut irrationales ejus particulas eliciat, obtemperantes tamen rationi, concupiſcibilem ſcilicet, et iraſcibilem, et de eorum organis, ac de affectionibus in ſumma.

ἢ εἴδη] ἢ εἰς εἴδη. M. 1. Omiſſo καὶ, ante ἄλλως, exhibet ἢ εἴδους. Sic. A. 3.

φυσικὸν] ζωτικόν. D. 1. φυτικόν. A. 1. 2. 3. M. 1. Ox. Sed Ox. omittit etiam proximum καὶ. *In vegetatricem vim.* Con. *Naturale.* Vall. φυτικὸν videtur etiam legiſſe Ellebodius, quod tamen mihi propter vicinum παθητικὸν non probatur. Quomodo enim τὸ φυτικόν, quod plantis proprium eſt, appellari poſſit etiam παθητικόν? Praeferendum puto ζωτικόν. Nam φυσικὸν nullius Codicis auctoritate, niſi ejus, quem Valla habuit, niti videtur, etſi nec hoc ineptum eſt. Difficultas emendandi in eo eſt, quod alii aliter iſtis vocabulis utuntur, quod hoc ipſo loco notat auctor. Ariſtot. Eth. ad Nicomach. I, 13. φυτικὸν explicat, τὸ αἴτιον τοῦ τρέφεσθαι καὶ τοῦ αὐξάνεσθαι. Ergo loco παθητικὸν conjici poſſit αὐξητικόν. Idem ibid. cap. 7. τὸ θρεπτικὸν καὶ αὐξητικόν, (hoc eſt, uno verbo, τὸ φυτικόν,) tribuit tam plantis, quam hominibus, et rurſus τὸ αἰσθητικὸν commune facit hominibus et animalibus caeteris. Maximus Tyr. p. 10. jungit φυτικόν, αἰσθητικόν, λογικόν. Pro lectione

καλεῖται, καὶ εἰς τὸ αἰσθητικὸν καὶ εἰς τὸ λογικόν. τῶν δὲ ὀργάνων ἑκάστου τούτων τὰ μὲν εἴρηται, τὰ δὲ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Ζήνων δὲ ὁ στωϊκὸς ὀκταμερῆ φησὶν εἶναι τὴν ψυχὴν, διαιρῶν αὐτὴν εἴς τε τὸ ἡγεμονικὸν, καὶ εἰς τὰς πέντε αἰσθήσεις, καὶ εἰς τὸ φωνητικὸν καὶ τὸ σπερματικόν. Παναίτιος δὲ ὁ φιλόσοφος τὸ μὲν φωνητικὸν τῆς καθ' ὁρμὴν κινήσεως μέρος εἶναι βούλεται· λέγων ὀρθότατα· τὸ δὲ σπερματικὸν, οὐ τῆς ψυχῆς μέρος, ἀλλὰ τῆς φύσεως. Ἀριστοτέλης δὲ, ἐν μὲν τοῖς φυσικοῖς πέντε εἶναι λέγει τὰ μέρη τῆς ψυχῆς, τό τε φυτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὸ κινητικὸν κατὰ τόπον, καὶ τὸ ὀρεκτικὸν καὶ τὸ διανοητικόν. Φυτικὸν λέγων τὸ τρέφειν καὶ αὔξειν καὶ γεννᾷν ποιοῦν καὶ

VAR. LECT. ET ANIMADV.

φυσικὸν et παθητικὸν laudari poſſit Nicephorus ad Syneſ. περὶ ἐνυπνίων T. I. p. 99. Is enim τὸ παθητικὸν τῆς ψυχῆς primo dividit, εἰς τὸ πειθόμενον λόγῳ καὶ εἰς τὸ μὴ πειθόμενον λόγῳ. Deinde rurſus haec ita diſtinguit: τοῦ παθητικοῦ τῆς ψυχῆς, τοῦ μὴ πειθομένου λόγω, τὸ μέν ἐστι θ ρ ε π τ ι κ ὸ ν καὶ φ υ σ ι κ ὸ ν, τὸ δὲ σφυγμικὸν καὶ ζωτικόν. τοῦ δὲ παθητικοῦ τῆς ψυχῆς, τοῦ πειθομένου λόγῳ, τὸ μὲν ἐστι ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Infra apud Nemeſium cap. 22. legitur: καλεῖται δὲ φυσικὸν μὲν, τὸ γεννητικὸν καὶ θρεπτικόν· ζωτικὸν δὲ, τὸ σφυγμικόν.

λογικὸν] διαλογιστικόν. et mox, τὰ δὲ ὄργανα ἑκάστου. D. 1. καὶ εἰς τὸ λογικὸν abeſt. Con. *Rationale.* Vall.

ἐν τοῖς ἑξῆς] ἐν τοῖς inſerta a prima man. D. 1.

ὁ στωϊκὸς] ὁ ἱστορικός. D. 1. De re ipſa vide Diog. Laërt. p. 275. et Plutarch. de placit. philoſoph. IV, 4. Mox ὀκτωμερῆ M. 1. Ab δὲ ὁ στωϊκὸς ad διαιρῶν abeſt A. 3.

εἰς τὸ ἡγεμονικὸν] εἴς τε τὸ ἡγεμονικόν. D. 1. A. 1. 2. 3. mox, καὶ τὸ φωνητικόν. D. 1. A. 2. 3.

καὶ τὸ σπερματικὸν — τὸ μὲν φωνητικὸν] abſunt. Vall.

οὐ τῆς ψυχῆς μέρος] μέρος abeſt. D. 1.

πέντε εἶναι λέγει] πέντε λέγει εἶναι. A. 1. Vide Ariſtot. de anima II, 3. III, 9.

τό τε φυτικὸν] Et hic et paullo poſt φυσικόν. M. 1.

τὸ τρέφον καὶ κ. τ. λ.] τὸ τρέφον καὶ αὔξειν καὶ γεννᾷν ποιοῦν καὶ διαπλάσσον. D. 1. τὸ τρέφειν καὶ αὔξειν καὶ γεννᾷν ποιοῦν καὶ διαπλάσσον. A. 1. 3. Sic, ſed τρέφον. A. 2. Quae nutrit et augere et generare facit. Con. Nutrire et augere et generare faciens. Vall. γέννον ſolum mutat, loco γεννῶν. M. 1.

διαπλάσσον τὰ σώματα· καλεῖ δὲ τὸ φυτικὸν καὶ θρεπτικόν, τὸ πᾶν ἀπὸ τοῦ κρατίστου μέρους καλῶν, τοῦ τρέφοντος, ἀφ᾽ οὗ καὶ τὰ ἄλλα μέρη τοῦ φυτικοῦ τὴν ὕπαρξιν ἔχει. οὕτω μὲν ἐν τοῖς φυσικοῖς· ἐν δὲ τοῖς ἠθικοῖς εἰς δύο τὰ πρῶτα καὶ γενικώτατα διαιρεῖ τὴν ψυχήν, εἴς τε τὸ λογικὸν καὶ τὸ ἄλογον· ὑποδιαιρεῖ δὲ τὸ ἄλογον, εἴς τε τὸ ἐπιπειθὲς λόγῳ, καὶ εἰς τὸ μὴ κατήκοον λόγου. περὶ μὲν οὖν τοῦ λογικοῦ ἐν τοῖς προλαβοῦσιν εἴρηται· περὶ δὲ τοῦ ἀλόγου νῦν διαληψόμεθα.

ΚΕΦ. ιϛ΄. 97

ΠΕΡΙ ΤΟΥ ΑΛΟΓΟΥ ΜΕΡΟΥΣ ΤΗΣ ΨΥΧΗΣ Ὃ ΚΑΙ ΠΑΘΗΤΙΚΟΝ ΚΑΛΕΙΤΑΙ.

Τινὲς καθ᾽ ἑαυτὴν εἶναι λέγουσι τὴν ἀλογίαν, ὡς ἄλογον ψυχὴν οὖσαν, καὶ οὐ μέρος τῆς λογικῆς. πρῶτον μέν,

VAR. LECT. ET ANIMADV.

διαπλάσσον τὰ σώματα] informans corpora atque confingens. Vall. Mox: καλεῖται δὲ φυτικόν, et paullo poſt, καλῶν. A. 3.

τρέφοντος· ἀφ᾽ οὗ] τρέφοντος καὶ ἀφ᾽ οὗ. A. 1. Antea ὑφ᾽, nunc ex correct. ἀφ᾽. D. 1. Mox idem τ᾽ἄλλα et ex correct. τἆλλα.

ἐν τοῖς φυσικοῖς] ἐν τοῖς φυτικοῖς. M. 1.

ἐν δὲ τοῖς ἠθικοῖς] abſunt. A. 1. Vide Ariſtotel. Eth. ad Nicomach. I, 13.

εἰς δύο τὰ πρῶτα] εἰς abeſt. A. 2. εἰς δύο πρῶτα. Sed εἰς ex correct. primae manus. Antea credo τά. D. 1. Mox loco ψυχήν, habet *naturam*, i. e. φύσιν. Con.

ὑποδιαιρεῖ] ὑποδιαιρεῖται. A. 2.

μὴ κατήκοον λόγῳ] λόγου, loco λόγῳ. D. 1. A. 2. Tam Genitivo, quam Dativo jungi ſolet.

περὶ μὲν οὖν] οὖν abeſt. D. 1. A. 3.

διαληψόμεθα] διασκεψόμεθα, et a man. rec. in marg. γρ. διαληψόμεθα. D. 1. Diſputationem adſumemus. Con. Diſputemus. Vall.

Cap. 16. Index: περὶ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ἢ εἴδους, ὃ καὶ παθητικὸν καὶ ὀρεκτικὸν καλεῖται (hic καὶ a man. rec.

ὅτι καὶ καθ' ἑαυτὴν ἐν τοῖς ἀλόγοις ζώοις εὑρίσκεται· ἐξ οὗ δῆλον, ὅτι τελεία τίς ἐστι, καὶ οὐ μέρος ἄλλης· εἶθ', ὅτι τῶν ἀτοπωτάτων ἐστὶ, τῆς λογικῆς μέρος εἶναι τὸ ἄλογον. Ἀριστοτέλης δὲ καὶ μέρος εἶναι λέγει καὶ δύναμιν, καὶ διαιρεῖ εἰς δύο, ὡς ἔφαμεν· καλεῖ δὲ ταῦτα κοινῶς, καὶ ὀρεκτικόν· τούτου δέ ἐστι καὶ ἡ καθ' ὁρμὴν κίνησις. ἡ γὰρ ὄρεξις κινήσεώς ἐστιν ἀρχή. ὀρεχθέντα γὰρ τὰ ζῶα ἐπὶ τὴν καθ' ὁρμὴν ἄττει κίνησιν. τοῦ δὲ ἀλόγου τὸ μὲν οὐ πείθεται

VAR. LECT. ET ANIMADV.

rec. interpofitum.) ἐπιπειθὲς λόγῳ. ιε. D. 1. περὶ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ἢ εἴδους, ὃ καὶ παθητικὸν καὶ θρεπτικὸν καλεῖται. ιε. A. 1. 3. Sic a recent. fed additum κεφ. ante ιε. A. 2., loco κεφ. ιε. habet λόγος ιε. M. 1. De irrationali animae parte, five fpecie, quae paffiva et nutritiva vocatur. cap. XV. Vall.

ὅτι καὶ καθ' ἑαυτὴν] καὶ abeft. A. 2. Mox ζώοις abeft. A. 3.

τελεία τίς ἐστι] τελεία τις ἔσται. A. 2.

μέρος εἶναι λέγει καὶ δύναμιν] intellige, τὴν ἀλογίαν.

δύναμιν, καὶ διαιρεῖ] δύναμιν, τῆς ψυχῆς δηλονότι, τὴν ἀλογίαν, καὶ διαιρεῖ. D. 1. Sed haec eft interpretatio. Cono: Et in duo fubdividi. Ergo ὑποδιαιρεῖσθαι. Forte tamen voluit, *fubdividit* i. e. ὑποδιαιρεῖ, ut p. 96. quod probo. Valla: Et partem et potentiam *rationalis animae* dicit.

καλεῖ δὲ ταῦτα] καλεῖται δὲ ταῦτα. D. 1. A. 2. καλεῖται δὲ τοῦτο. A. 1. καλεῖ δὲ τοῦτο. A. 3. Valla: *Vocatur porro haec communiter etiam appetitiva*. Ergo non ad Ariftotelem haec referunt. Sed Cono: Vocat autem hanc communiter paffivam et concupifcitivam. h. e. καλεῖ δὲ ταύτην (τὴν ἀλογίαν, aut, τὴν δύναμιν.) κοινῶς παθητικὴν καὶ ὀρεκτικήν. Supra p. 96. duas divifiones Ariftotelis memoravit. Primam generalem, εἰς τὸ λογικὸν καὶ τὸ ἄλογον. Secundo fpecialem τοῦ ἀλόγου, εἰς τὸ ἐπιπειθὲς — καὶ τὸ μὴ κατήκοον. De hac pofteriori hoc loco fermo eft. Ergo hic εἰς δύο notat, ἐπιπειθὲς et μὴ κατήκοον. Haec autem funt τὸ φυτικὸν et τὸ ἐπιθυμητικὸν, feu, ὀρεκτικόν. Conjicio ergo: καλεῖ δὲ ταῦτα τὸ φυτικὸν καὶ τὸ ἐπιθυμητικὸν καὶ ὅλως τὸ ὀρεκτικόν. Lege Ariftot. Eth. ad Nicomach. I, 13. in medio capite et circa finem.

αἴτει κίνησιν] ἄττει κίνησιν. A. 1. 2. 3. M. 1. Ox. Ἄττει, loco αἴτει, inter errores etiam notatum in Ant. ἵεται καὶ ἄττει κίνησιν. D. 1. Impulfu ad motum proruunt. Vall.

Ac

λόγῳ, τὸ δὲ ἐπιπειθές ἐστι λόγῳ· πάλιν δὲ τὸ ἐπιπειθὲς
λόγῳ διαιρεῖται εἰς δύο, εἴς τε τὸ ἐπιθυμητικὸν καὶ τὸ
θυμικόν. ἔστι δὲ ὄργανα τοῦ μὲν ἐπιθυμητικοῦ, τοῦ δι'
αἰσθήσεως, τὸ ἧπαρ· τοῦ δὲ θυμικοῦ, ἡ καρδία, σκληρὸν
μόριον καὶ κίνησιν εὔτονον ἐπιδεχόμενον, εἰς σκληρὰν ὑπη-
ρεσίαν καὶ σύντονον ὁρμὴν τεταγμένον, ὥσπερ τὸ ἧπαρ,
ἁπαλὸν σπλάγχνον, τῆς ἁπαλῆς ἐπιθυμίας ὄργανον γέγονε.
καλεῖται δὲ ταῦτα ἐπιπειθῆ λόγῳ, ὅτι πέφυκε πείθεσθαι
λόγῳ καὶ ὑποτάσσεσθαι καὶ κινεῖσθαι, ὡς ἂν ὁ λόγος κε-
λεύῃ, ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων ἀνθρώπων. ἔστι δὲ
καὶ ταῦτα τὰ πάθη συστατικὰ τῆς ζωώδους οὐσίας. ἄνευ
γὰρ τούτων οὐκ ἔστι συστῆναι τὴν ζωήν. ἐπεὶ δὲ τὸ πάθος
ὁμωνύμως λέγεται, διασταλτέον πρότερον τὴν ὁμωνυμίαν. 98
λέγεται γὰρ πάθος καὶ τὸ σωματικὸν, ὡς τὰ νοσήματα καὶ

VAR. LECT. ET ANIMADV.

Ac ſi legerit: *καθ' ὁρμὴν ἐπὶ τὴν κίνησιν.* Obiter noto, in Cod. D. 1. duplex ττ hoc loco ita ſcriptum eſſe, ut ſecundum ſimile ſit litterae γ. Id ergo in hoc Codice homo imperitus correxit. Notum autem, hoc modo in Codd. ſcribi ττ. inde a Sec. IX.

διαιρεῖται εἰς β.] διαιρεῖται εἰς δύο. D. 1. A. 1. 2. Totum ſic: τὸ δὲ ἐπιπειθὲς τῷ λόγῳ πάλιν διαιρεῖται εἰς δύο. A. 3.

καὶ τὸ θυμικὸν] τὸ abeſt. D. 1. θυμούμενον, loco θυμικόν. M. 1. et mox διαιρεῖσθαι, loco δι' αἰσθήσεως. Idem. Mox D. 1. ἧπαρ et ex corr. rec. ἧπαρ. Atque ita etiam mox. In eodem continuo vitioſum eſt, τὸ δε θυμικοῦ. Mox Valla εὔτονον reddidit *accommodatum*, ac deinde σύντονον, *conſonum.* Praeterea ὑποδεχόμενον, loco ἐπιδεχ. A. 3. In editione Ellebodii errore typographi legitur *notionis*, loco *motionis.* Oxonienſis hoc retinuit, nos correximus. Quis enim κίνησιν reddat *notionem?*

ἐπιθυμίας οργανον γέγονε] ἐπιθυμίας γέγονεν ὄργανον. A. 1.

πειθεσθαι λόγῳ καὶ κινεῖσθαι] πειθεσθαι λόγῳ καὶ ὑποτάσσεσθαι καὶ κινεῖσθαι. D. 1. A. 1. 2. 3. Ox. Con. Vall. Mox κελεύει. D. 1. M. 1. Sed hic omittit etiam λόγῳ καὶ ὑποτάσσεσθαι.

ἐπὶ τῶν — ἀνθρώπων] in his, quae per naturam homines habuerint. Valla. Inepte. Paullo poſt συστάναι, loco συστῆναι. M. 1.

τὸ πάθος ὁμωνύμως] vid. Jo. p. 186. B.

τὰ ἕλκη· λέγεται πάθος, καὶ τὸ ψυχικὸν, περὶ οὗ νῦν ἐστιν ὁ λόγος, ἤτε ἐπιθυμία καὶ ὁ θυμός· ἔστι δὲ κοινῶς μὲν καὶ γενικῶς ζώου πάθος, ᾧ ἕπεται ἡδονὴ ἢ λύπη. ἕπεται γὰρ τῷ πάθει λύπη, καὶ οὐκ αὐτὸ τὸ πάθος ἐστὶ λύπη. εἰ γὰρ τοῦτο ἦν, πᾶν τὸ πάσχον καὶ ἤλγει· νῦν δὲ τὰ ἀναίσθητα πάσχει μὲν, οὐκ ἀλγεῖ δέ· οὐκ ἄρα τὸ πάθος ἐστὶν ἄλγημα, ἀλλ' ἡ τοῦ πάθους αἴσθησις. δεῖ δὲ τοῦτο καὶ ἀξιόλογον εἶναι, ἵνα τῇ αἰσθήσει ὑποπέσῃ. τῶν δὲ ψυχικῶν παθῶν ὅρος οὗτος· πάθος ἐστὶ κίνησις τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητὴ ἐπὶ φαντασίᾳ ἀγαθοῦ ἢ κακοῦ. καὶ ἄλλως· πάθος ἐστὶ κίνησις ἄλογος τῆς ψυχῆς δι' ὑπόληψιν καλοῦ ἢ κακοῦ. τὸ δὲ γενικὸν πάθος οὕτως ὁρίζονται· πάθος ἐστὶ κίνησις ἐν ἑτέρῳ ἐξ ἑτέρου. ἐνέργεια δέ ἐστι κίνησις δραστικὴ κατὰ φύσιν· δραστικὸν δὲ λέγεται, τὸ ἐξ ἑαυτοῦ κινούμενον. οὕτως οὖν καὶ ὁ θυμὸς, ἐνέργεια μέν ἐστι τοῦ θυμοειδοῦς· πάθος δὲ, τῶν δύο μερῶν τῆς ψυχῆς, καὶ προσέτι τοῦ σώματος ἡμῶν παντὸς, ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως

VAR. LECT. ET ANIMADV.

καὶ τὰ ἕλκη] accentus in ἕλκη ex correct. D. 1.
ᾧ ἕπεται — ἕπεται γὰρ] ὡς ἕπεται — ἕπεται δέ. M. 1. Mox idem loco οὐκ αὐτὸ, habet οὐ κατά.
οὐκ ἄρα τὸ πάθος ἐστὶν ἄλγημα] οὐκ ἄρα τὸ πάθος ἐστὶ τὸ ἄλγημα. D. 1. A. 1. 3. Sic, ſed omiſſo priori τό. A. 2.
ἀξιόλογον] ἀνάλογον. A. 2. Infra eſt, σφοδρότερον καὶ εἰς αἴσθησιν προβαίνον, et iterum, ἀξιόλογον μέγεθος.
καὶ ἄλλως] Ante haec addit Cono: Boni quidem ſuſpicio concupiſcentiam movet, mali vero ſuſpicio, iram. Vide p. 100.
καλοῦ ἢ κακοῦ] hic quaedam interponit Jo. p. 186. C.
τὸ δὲ γενικὸν πάθος] τὸ γενικὸν δὲ πάθος. A. 1. Mox *definitur*, i. e. ὁρίζεται. Vall.
ἐν ἑτέρῳ ἐξ ἑτέρου] Cono: in aliud ex alio.
ἐνέργεια δέ ἐστι] δὲ abeſt. A. 2.
δραστική. δραστικὸν] δραστικὴ κατὰ φύσιν. δραστικόν. D. 1. Κατὰ φύσιν ſine dubio addendum, uti mox apparet, ubi eadem ſententia repetitur. Omittit tamen et Cono et Valla. Mox, τὸ ἐξ αὐτοῦ κινούμενον. D. 1. τὸ ἐξ αὐτοῦ κινούμενον. A. 2. Deinde, τῶν δύο μερῶν. D. 1. A. 1.
ὅταν ὑπὸ] γὰρ interponit. Con.

ἄγηται πρὸς τὰς πράξεις. ἐξ ἑτέρου γὰρ ἐν ἑτέρῳ γέγονεν
ἡ κίνησις, ὅπερ ἐλέγομεν εἶναι πάθος. καὶ καθ' ἕτερον δὲ
τρόπον, ἡ ἐνέργεια πάθος λέγεται, ὅταν ᾖ παρὰ Φύσιν.
ἐνέργεια μὲν γάρ ἐστι κατὰ Φύσιν κίνησις· πάθος δὲ παρὰ
Φύσιν. καὶ κατὰ τοῦτον οὖν τὸν λόγον ἡ ἐνέργεια, ὅταν μὴ
κατὰ Φύσιν κινῆται, λέγεται πάθος, εἴτε ἐξ ἑαυτοῦ κινοῖτο,
εἴτε ἐξ ἑτέρου. τῆς γοῦν καρδίας ἡ μὲν κατὰ τοὺς σφυγμοὺς 99
κίνησις, ἐνέργειά ἐστιν· ἡ δὲ κατὰ τοὺς παλμοὺς, πάθος.
ἐξ αὐτῆς μὲν γάρ ἐστι καὶ ἡ κατὰ τοὺς παλμοὺς κίνησις,
ἀλλ' οὐ κατὰ Φύσιν. ἐξ αὐτῆς δὲ καὶ ἡ τῶν σφυγμῶν,
ἀλλὰ κατὰ Φύσιν. οὐδὲν οὖν θαυμαστὸν, ἓν καὶ ταὐτὸν
πρᾶγμα, καὶ πάθος καὶ ἐνέργειαν ὀνομάζεσθαι. καθ' ὃ μὲν
γὰρ κινήσεις εἰσὶν ἐξ αὐτοῦ τοῦ παθητικοῦ τῆς ψυχῆς, ἐνέργειαί τινές εἰσι· καθ' ὃ δὲ ἄμετροι, καὶ οὐ κατὰ Φύσιν,

VAR. LECT. ET ANIMADV.

καὶ προςέτι τοῦ σώματος] πρόςεστι, loco προςέτι. A. 2. *Immo totius corporis.* Con.

ἐλέγομεν πάθος εἶναι] ἐλέγομεν εἶναι πάθος. D. 1. A. 1. 2. 3. λέγομεν ſolum loco ἐλέγομεν. M. 1. Idem mox ἢ ἔργον, loco ἡ ἐνέργεια.

ὅταν ᾖ παρὰ] ὅταν abeſt. A. 3. Mox idem poſt Φύσιν, omittit κίνησις et, loco καὶ κατὰ, habet κίνησις, item κινοῖτο, loco κινῆται, et κινεῖται, pro κινοῖτο.

σφυγμοὺς κίνησις] Cono addit: cum ſecundum naturam fiat.

καὶ ἡ κατὰ τοὺς παλμοὺς] ἡ abeſt. A. 2.

ἐξ αὐτῆς μὲν] ἐξ αὐτῆς, i. e. τῆς καρδίας. Cono ita: Nam ex motu ſecundum ſaltum eſt, qui eſt praeter naturam. Nequaquam igitur mirum etc. Ergo alia mutat, alia addit.

ἐξ αὐτῆς δὲ καὶ ἡ] δὲ abeſt. A. 2.

ἐξ αὐτοῦ τοῦ παθητικοῦ] ἐξ ἑαυτῶν τοῦ παθητικοῦ. D. 1. A. 1. 2. 3. Valla: Per quod enim *motus ex ſeſe* ſunt paſſivae partis animae. Ergo ἑαυτῶν expreſſit. Sed Cono: ex paſſiva vi animae et affectione. Ergo nec αὐτοῦ, nec ἑαυτῶν habet.

καθ' ὅσον δὲ ἄμετροι] καθὸ δὲ ἄμετροι. D. 1. καθ' ὃ καὶ ἄμετροι. A. 2.

οὐκ ἐνέργειαι, ἀλλὰ πάθη. οὕτως οὖν ἡ κίνησις τοῦ ἀλόγου πάθος ἐστὶ κατ' ἄμφω τὰ σημαινόμενα. οὐ πᾶσα δὲ κίνησις τοῦ παθητικοῦ, πάθος καλεῖται· ἀλλ' αἱ σφοδρότεραι καὶ εἰς αἴσθησιν προβαίνουσαι. αἱ γὰρ μικραὶ καὶ ἀνεπαίσθητοι οὐδέπω πάθη. δεῖ γὰρ ἔχειν τὸ πάθος καὶ μέγεθος ἀξιόλογον. διὸ πρόσκειται τῷ ὅρῳ τοῦ πάθους, τὸ κίνησις αἰσθητή. αἱ γὰρ μικραὶ κινήσεις, λανθάνουσαι τὴν αἴσθησιν, οὐ ποιοῦσι πάθος, ὡς εἴρηται.

ΚΕΦ. ΙΖ'.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΘΥΜΗΤΙΚΟΥ.

Διαιρεῖται μὲν οὖν, ὡς ἔφαμεν, τὸ ἄλογον τῆς ψυχῆς, τὸ ἐπιπειθὲς λόγῳ, εἰς δύο, τό,τε ἐπιθυμητικὸν καὶ τὸ θυμικόν· πάλιν δὲ τὸ ἐπιθυμητικὸν διαιρεῖται εἰς δύο, εἰς ἡδονὰς καὶ λύπας· ἐπιτυγχάνουσα μὲν γὰρ ἡ ἐπιθυμία, ἡδονὴν ἐμποιεῖ· ἀποτυγχάνουσα δὲ, λύπην. πάλιν δὲ καθ' ἕτερον τρόπον ἡ ἐπιθυμία διαιρουμένη, τέσσαρα σὺν ἑαυτῇ τὰ πάντα εἴδη ποιεῖ. ἐπεὶ γὰρ τῶν ὄντων τὰ μέν ἐστιν

VAR. LECT. ET ANIMADV.

οὕτως οὖν ἡ κίνησις κ. τ. λ.] Cono: Ergo motus irrationalis partis motus eſt ſecundum ambo haec diviſus.

οὐ πᾶσα δὲ κίνησις] vid. Jo. p. 186. E.

Cap. 17. Index idem, ſed ſine nota capitis. D. 1. Idem, ſed ις. loco ιζ. A. 1. Sic etiam a manu rec. A. 2. Loco κεφ. ιζ. habet λόγος ιζ. M. 1. Prorſus convenit cum edito A. 3. De concupiſcibili. cap. 16. Vall. Cono incipit libri 4. cap. 9. Recenſet quatuor affectus animi, virtutis concupiſcibilis, et qua ex cauſa homines tam vehementer ſuas proſequantur affectiones.

τὸ ἐπιπειθὲς] τῷ ἐπιπειθές. A. 2.

τέσσαρα σὺν ἑαυτῇ] quatuor omnino ſpecies efficit, in quibus ipſa numeratur. Iſtae quatuor ſpecies ſunt, ut mox docet, ἐπιθυμία, ἡδονὴ, φόβος, λύπη.

ἐπὶ γὰρ τῶν ὄντων] ἐπεὶ γὰρ τῶν ὄντων. D. 1. A. 3. Utrumque ferri poteſt. Laudat haec Jo. p. 181. B. ἐπὶ τῶν ὄντων eſt, *inter ea, quae ſunt*. Quoniam eorum quae ſunt. Vall.

ἀγαθὰ, τὰ δὲ φαῦλα· καὶ τὰ μὲν ἤδη πάρεστι, τὰ δὲ 100
προςδοκᾶται· κατὰ τούτους τοὺς τρόπους, τῶν δύο εἰς δύο πολυπλασιαζομένων, τὰ τῆς ἐπιθυμίας εἰς τέσσαρα διαιρεῖται. ἔστι γὰρ ἀγαθὸν καὶ κακόν· καὶ πάλιν παρὸν καὶ προςδοκώμενον. προςδοκώμενον γὰρ ἀγαθὸν ἐπιθυμία ἐστίν· ἤδη δὲ παρὸν, ἡδονή. πάλιν προςδοκώμενον μὲν κακὸν, φόβος· παρὸν δὲ, λύπη. περὶ τὰ ἀγαθὰ μὲν γὰρ στρέφεται ἡδονὴ καὶ ἐπιθυμία· περὶ τὰ φαῦλα δὲ, φόβος καὶ λύπη. διό τινες τὸ πάθος εἰς τέσσαρα διαιροῦσιν, ἐπιθυμίαν, ἡδονὴν, φόβον καὶ λύπην. ἀγαθὰ δὲ καὶ φαῦλα λέγομεν, ἢ τὰ ὄντως ὄντα, ἢ τὰ νομιζόμενα. ἐγγίνεται δὲ τὰ φαῦλα πάθη τῇ ψυχῇ διὰ τριῶν τούτων· διὰ κακῆς ἀγωγῆς, ἐξ ἀμαθίας, ὑπὸ καχεξίας. μὴ ἀχθέντες γὰρ καλῶς ἐκ παίδων, ὡς δύνασθαι κρατεῖν τῶν παθῶν, εἰς τὴν ἀμετρίαν αὐτῶν ἐκπίπτομεν· ἐκ δὲ τῆς ἀμαθίας, φαῦλαι κρίσεις τῷ λογιστικῷ τῆς ψυχῆς ἐμφύονται, ὡς οἴεσθαι τὰ φαῦλα χρηστὰ εἶναι, καὶ τὰ χρηστὰ φαῦλα· γίνεται δέ τινα καὶ

VAR. LECT. ET ANIMADV.

προςδοκώμενον γὰρ ἀγαθὸν] μὲν, loco γάρ. D. 1. A. 1. 3.

ἡδονή· παλιπροςδοκώμενον] ἡδονή· πάλιν προςδοκώμενον. A. 1. 2. M. 1. Et D. 1. ſed προςδοκόμενον. A. 3. ita habet: ἡδονή· καὶ πάλιν προςδοκώμενον μὲν κακόν. Πάλιν videtur etiam legiſſe Ellebodius. Habet enim in verſione: *rurſus* malum expectatum. Cono: *Et rurſus.* Valla: *Porro.*

στρέφεται ἡδονὴ] τρέφεται ἡδονή. A. 2.

ἡδονὴν, φόβον καὶ λύπην] καὶ abeſt. D. 1. A. 2. 3.

ἐγγίνονται δὲ τὰ φαῦλα] ἐγγίνεται δὲ τὰ φαῦλα. A. 1. 2. 3. D. 1.

μὴ ἀχθέντες γὰρ καλῶς] Non bene educati enim. Sic Xenoph. Mem. Socr. IV, 1, 3. Mox παιδὸς, loco ἐκ παίδων. M. 1.

ἐμπίπτομεν] ἐκπίπτομεν. A. 1. 2. 3. Eleganter et uſitatiſſime dicitur ἐκπίπτειν εἴς τι πάθος, εἴς τινα κακίαν, ſed nec ἐμπίπτειν contra uſum eſt. Cono: *incidimus.* Sic et Vall. Paullo poſt, ἐκ γὰρ, loco ἐκ δέ. M. 1. et deinde, λογισμῷ, loco λογιστικῷ. Idem. Ac poſtea ὀργῖλοι γάρ εἰσιν. D. 1. Deinceps idem bis habet κρᾶσιν.

ἐμφύονται] ἐκφύονται. M. 1.

ἐκ τῆς τοῦ σώματος καχεξίας. ὀργίλοι γάρ εἰσιν οἱ πικρόχολοι· καὶ καταφερεῖς οἱ θερμοὶ καὶ ὑγροὶ τὴν κρᾶσιν· θεραπευτέον δὲ τὸ μὲν κακὸν ἔθος ἔθει καλῷ· τὴν δὲ ἀμαθίαν μαθήσει καὶ ἐπιστήμῃ· τὴν δὲ καχεξίαν ἰατέον σωματικῶς, μεθιστάντας αὐτὴν, ὡς εἰόντε εἰς τὴν μέσην κρᾶσιν ἁρμοζούσῃ διαίτῃ καὶ γυμνασίᾳ καὶ φαρμάκοις, ἐὰν καὶ τούτων δεηθῶμεν.

ΚΕΦ. ΙΗ'.

ΠΕΡΙ ἩΔΟΝΩΝ.

101 Τῶν ἡδονῶν, αἱ μέν εἰσι ψυχικαὶ, αἱ δὲ σωματικαί. ψυχικαὶ μὲν, αἱ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτὴν, ὡς αἱ περὶ τὰ μαθήματα καὶ τὴν θεωρίαν. αὗται γὰρ καὶ αἱ τοιαῦται μόνης εἰσὶ τῆς ψυχῆς. σωματικαὶ δέ εἰσιν, αἱ μετὰ κοινωνίας τοῦ σώματος καὶ τῆς ψυχῆς γινόμεναι, καὶ διὰ τοῦτο

VAR. LECT. ET ANIMADV.

καταφερεῖς] κατωφερεῖς. A. 2. Eadem ſupra fuit varietas. Cono reddidit, *triſtes*. Valla, *feroces*. Male utrumque.

μεθιστάντας] μεθιστῶντας. M. 1. μεθιστάντες. A. 3.

μέσην κράσιν ἁρμοζούσῃ διαίτῃ καὶ γυμνασίοις] μέσην κρᾶσιν καὶ γυμνασίοις. A. 1. γυμνασίᾳ ſolum mutant D. 1. A. 2. μέσην omittit A. 3. *Exercitiis*. Con. Vall. Sed Valla omittit ἁρμοζούσῃ διαίτῃ καί. Ceterum non minus uſitate γυμνάσιον etiam de exercitatione, ut γυμνασία dicitur.

ἐὰν καὶ τούτων δεηθῶμεν] καὶ abeſt. A. 2. ἐὰν καὶ τούτου. D. 1.

Cap. 18. Index idem, ſed ſine nota capitis. D. 1. Idem, ſed ιζ. loco ιη. A. 1. Et ita a man. rec. A. 2. Loco κεφ. ιη. eſt λόγος ιη. M. 1. περὶ ἡδονῆς. ιη. A. 3. De voluptatibus. cap. 17. Vall. Compara Jo. p. 181. C. Apud Cononem incipit lib. 4. cap. 10. De voluptate corporali et animi, quae alteri praeſtet.

ὡς αἱ περὶ τὰ μαθήματα] ὥςπερ τὰ μαθήματα. Sed ex raſura. A. 2. αἱ τῆς ψυχῆς καθ' ἑαυτὴν, ὅσαι περὶ τὰ μαθ. A. 3.

καὶ τῆς ψυχῆς γινόμεναι] γενόμεναι, loco γιν. D. 1. Καὶ τῆς ψυχῆς poterat abeſſe.

σωματικαὶ καλούμεναι, ὡς αἱ περὶ τὰς τροφὰς καὶ τὰς συνουσίας. μόνου δὲ τοῦ σώματος οὐκ ἂν εὕροι τις ἰδίας ἡδονὰς, ἀλλὰ πάθη, οἷον τομὰς καὶ ῥεύσεις καὶ τὰς κατὰ κρᾶσιν ποιότητας. πᾶσα γὰρ ἡδονὴ μετὰ αἰσθήσεως. ψυχικὴν δὲ τὴν αἴσθησιν ἐδείξαμεν. καὶ δῆλον, ὡς τῶν πολλαχῶς λεγομένων ἐστὶν ἡ ἡδονή. ὑφ' ἕτερον γὰρ καὶ ἕτερον γένος εἰσὶν, ὡς αἱ σπουδαῖαι ἡδοναὶ καὶ αἱ φαῦλαι· καὶ αἱ μὲν ψευδεῖς, αἱ δὲ ἀληθεῖς· καὶ αἱ μὲν τῆς διανοίας μόνης, κατ' ἐπιστήμην εἰσίν· αἱ δὲ μετὰ σώματος, κατ' αἴσθησιν· καὶ αὐτῶν δὲ τῶν κατ' αἴσθησιν, αἱ μέν εἰσι φυσικαί· αἱ δὲ οὔ· καὶ τῇ μὲν ἡδονῇ, τῇ ἐν τῷ πίνειν, ἀντίκειται ἡ ἐν τῷ διψῆν λύπη· τῇ δὲ κατὰ θεωρίαν οὐδέν. ταῦτα οὖν πάντα δείκνυσι τὴν ἡδονὴν ὁμώνυμον. τῶν δὲ σωματικῶν καλουμένων ἡδονῶν αἱ μὲν εἰσὶν ἀναγκαῖαι ἅμα καὶ φυσικαὶ, ὧν χωρὶς ζῆν ἀδύνατον· ὡς αἱ τροφαὶ, αἱ τῆς ἐνδείας ἀναπληρωτικαὶ καὶ τὰ ἐνδύματα τὰ ἀναγκαῖα· αἱ δὲ φυσικαὶ μὲν, οὐκ ἀναγκαῖαι δὲ, ὡς αἱ κατὰ φύσιν καὶ κατὰ νόμον μίξεις. αὗται γὰρ εἰς μὲν τὴν διαμονὴν τοῦ παντὸς γένους συντελοῦσι· δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν ἐν παρθενίᾳ ζῆν·

VAR. LECT. ET ANIMADV.

αἱ περὶ τὰς τροφὰς] τρυφὰς, loco τροφάς. D. 1. *Escas*. Con. *Nutrimenta*. Vall.

μόνου δὲ τοῦ σώματος] μόνου, loco μόνον. A. 1. 3. D. 1. Con. Vall. Mox D. 1. habet κρᾶσιν et ex correct. κράσιν. Paullo post: μετ' αἰσθήσεως. Idem et A. 3.

ἡδοναὶ καὶ φαῦλαι] αἱ, post καὶ, addit D. 1. A. 1. 2. 3. Valla videtur legisse: καὶ ὡς αἱ σπουδαὶ, οὕτω καὶ αἱ ἡδοναί. αἱ μὲν σπουδαῖαι, αἱ δὲ φαῦλαι. Paullo ante ἐστὶ, loco εἰσίν. M. 1.

καὶ αἱ μὲν ψευδεῖς] vid. Jo. p. 181. D.

μόνης κατ' ἐπιστήμην εἰσὶν, αἱ δὲ μετὰ σώματος] μόνης καὶ κατ' ἐπιστήμην· αἱ δὲ σώματος. D. 1. Solum εἰσὶν omittunt A. 1. 2. 3. Mox, αἱ δὲ οὐ, loco οὐ. D. 1. Ox. αἱ μέν εἰσι φυσικαί· αἱ δὲ οὐ. absunt. M. 1.

ἐν τῷ διψῆν] Sic ex correct. antea διψεῖν. D. 1.

ταῦτα μὲν οὖν πάντα] μὲν abest. D. 1. A. 1. 2.

τὰ ἐνδύματα ἀναγκαῖα] τὰ ἐνδύματα τὰ ἀναγκαῖα. A. 2.

ἐν παρθενίᾳ ζῆν] τὸ ἐν παρθενίᾳ ζωῇ μένειν. M. 1. Paullo ante μὲν τὴν, post εἰς omittit A. 3.

102 αἱ δὲ οὔτε ἀναγκαῖαι, οὔτε φυσικαί, ὡς ἡ μέθη καὶ ἡ λαγνεία (καὶ ἡ φιλαργυρία) καὶ αἱ πλησμοναὶ τὴν χρείαν ὑπερβαίνουσαι. οὔτε γὰρ εἰς διαδοχὴν τοῦ γένους ἡμῖν συμβάλλονται, ὡς ἡ κατὰ νόμον συνουσία, οὔτε εἰς σύστασιν τῆς ζωῆς· ἀλλὰ καὶ προσβλάπτουσι. τῷ τοίνυν κατὰ Θεὸν ζῶντι μόνας μεταδιωκτέον τὰς ἀναγκαίας ἅμα καὶ φυσικὰς ἡδονάς· τῷ δὲ μετ᾽ ἐκεῖνον, ἐν δευτέρᾳ τάξει τῶν ἀρετῶν τεταγμένῳ, ταύτας τε καὶ τὰς φυσικὰς μὲν, οὐκ ἀναγκαίας δὲ μετιτέον μετὰ τοῦ προσήκοντος καὶ μέτρου καὶ τρόπου καὶ καιροῦ καὶ τόπου· τὰς δὲ ἄλλας φευκτέον παντὶ τρόπῳ. ἁπλῶς δὲ ἡγητέον, ταύτας εἶναι καλὰς ἡδονὰς, τὰς μὴ συμπεπλεγμένας λύπῃ, μήτε μεταμέλειαν ἐμποιούσας, μήτε βλάβης ἑτέρας γεννητικὰς, μήτε τοῦ μετρίου πέρα χωρούσας, μήτε τῶν σπουδαίων ἡμᾶς ἔργων ἀφελκούσας ἐπὶ πολὺ ἢ καταδουλούσας. κυρίως δέ εἰσιν ἡδοναὶ, αἱ τῇ κατανοήσει τοῦ θείου καὶ ταῖς ἐπιστήμαις καὶ ταῖς ἀρεταῖς ἐπιγινόμεναί πως ἢ συμπεπλεγμέναι, ἅσπερ ἐν τοῖς κατὰ πρῶτον λόγον περισπουδάστοις θετέον, οὐκ εἰς τὸ εἶναι

VAR. LECT. ET ANIMADV.

ἡ λαγνεία καὶ αἱ πλησμοναὶ] post λαγνεία, additur, καὶ ἡ φιλαργυρία. D. 1. αἱ, ante πλησμοναὶ, omittunt A. 1. 2. 3. Etiam post πλησμοναὶ addendum videtur αἱ.

τοῦ γένους ἡμῶν] τοῦ γένους ἡμῖν. A. 1. D. 1. Con. Vall. Mox, οὔτ᾽ εἰς σύστασιν. D. 1. Mox μεταφευκτέον, loco μεταδιωκτέον. A. 3. Paullo post idem omittit μετιτέον.

ἅμα καὶ φυσικὰς] ἅμα abest. M. 1.

καὶ μέτρου καὶ τρόπου] καὶ τρόπου καὶ μέτρου. A. 1. 2. 3. Con. Vall.

καλὰς ἡδονὰς] vid. Jo. p. 182. A. Mox μεταμέλειαν reddidit Valla *negligentiam*, ἀμέλειαν.

τοῦ μετρίου παραχωρούσας] τοῦ μετρίου πέρα χωρούσας. πέρα ex correct., antea credo πέραν. D. 1. Eadem varietas est apud Jo. l. l. Cono habet *recedunt*. Valla, *excedentes*. Μέτρου, loco μετρίου, habet A. 2. Mox ante ἔργων, omittit ἡμᾶς. A. 3. et post ἀφελκούσας addit, ἐπιγινομένας. M. 1.

ταῖς ἀρεταῖς ἐπιγινόμεναι] Sic ex corr. antea ἐπιγενόμεναι. D. 1. Mox, ὥσπερ ἐν τοῖς κατά. Ox.

εἰς τὸ εἶναι ἁπλῶς κ. τ. λ.] εἰς τὸ εἶναι συντελοῦσαι καὶ εἰς

αὐτὴν

ἁπλῶς, οὐδὲ εἰς τὴν διαμονὴν τοῦ γένους, ἀλλ᾽ εἰς τὸ εὖ εἶναι, καὶ σπουδαίοις καὶ θεοφιλέσιν εἶναι συντελούσας, καὶ εἰς αὐτὴν τοῦ ἀνθρώπου τὴν κατὰ ψυχὴν καὶ τὸ νοερὸν τελειότητα, αἵπερ οὔτε θεραπεῖαι τινῶν παθῶν εἰσὶν, ὡς αἱ τῆς ἐνδείας ἀναπληρωτικαὶ, οὔθ᾽ ὅλως λύπην ἔχουσι προηγουμένην ἢ ἑπομένην, ἢ ἀντικειμένην, ἀλλ᾽ εἰσὶ καθαραὶ καὶ ἄμικτοι πάσης ὑλικῆς συμπλοκῆς, ψυχικαὶ μόνον οὖσαι. 103
καὶ γὰρ κατὰ Πλάτωνα, τῶν ἡδονῶν αἱ μέν εἰσι ψευδεῖς, αἱ δὲ ἀληθεῖς. ψευδεῖς μὲν, ὅσαι μετ᾽ αἰσθήσεως γίνονται καὶ δόξης οὐκ ἀληθοῦς, καὶ λύπας ἔχουσι συμπεπλεγμένας· ἀληθεῖς δὲ, ὅσαι τῆς ψυχῆς εἰσὶ μόνης αὐτῆς καθ᾽ ἑαυτὴν μετ᾽ ἐπιστήμης καὶ νοῦ καὶ φρονήσεως, καθαραὶ καὶ ἀνεπίμικτοι λύπης, αἷς οὐδὲ μία μετάνοια παρακολουθεῖ ποτέ. καλοῦσι δὲ τὰς ἐπακολουθούσας τῇ θεωρίᾳ καὶ ταῖς καλαῖς πράξεσιν ἡδονὰς, οὐ πάθη, ἀλλὰ πείσεις. τινὲς δὲ κυρίως

VAR. LECT. ET ANIMADV.

αὐτὴν τοῦ ἀνθρώπου τὴν κατὰ ψυχὴν καὶ τὸ νοερὸν τελειότητα, ἁπλῶς δὲ εἰς τὴν διαμονήν. M. 1. Mox idem omittit a συντελούσας καὶ ad νοερὸν τελειότητα.

τὴν κατὰ ψυχὴν καὶ τὸ νοερὸν] κατὰ infertum a prima manu. D. 1. τὸν ὅρον, loco τὸ νοερὸν, habet A. 2. Cono καὶ τὸ νοερὸν reddidit, *et finem*. Mox τελειότατα. D. 1.

αἵπερ οὔτε θεραπεῖαι τῶν παθῶν] αἵπερ οὔτε θεραπεῖαι τινῶν παθῶν. A. 1. 2. 3. Con. Vall. ἅπερ οὔτε θεραπεῖαι παθῶν τινῶν. D. 1. Mox, ἀναπληρωματικαί. M. 1.

λύπην ἔχουσι] λύπην ἔχουσαι. D. 1. Mox ἢ ἑπομένην abſunt. A. 2. M. 1.

ὑλικῆς συμπλοκῆς] ψυχικῆς συμπλοκῆς. Sic. A. 2. Mox, ψυχικαὶ καὶ μόνον. D. 1. Solius animae rationalis exiſtentes. Con.

ὅσαι μετ᾽ αἰσθήσεως] Sic ex correct., antea μετά. D. 1.

καὶ λύπας ἔχουσι] καὶ λύπας ἔχουσαι. A. 2. Mox συμπεπλεγμένας Valla reddidit, *comites atque implicitas*. Forte συνεπομένας καὶ συμπεπλ.

εὐδεμία μετάνοια] Cono: nulla *plenitudo*. Forte πλησμονή. *Poenitentia*. Vall. Mox ἀκολουθεῖ, loco παρακολουθεῖ. M. 1.

τὰς παρακολουθούσας] τὰς ἐπακολουθούσας. D. 1. A. 2. 3.

οὐ πάθη, ἀλλὰ πείσεις] ἀλλὰ πείσεις abeſt. D. 1. Πείσεις *ſuavitates* reddidit Vall. *Suaſiones*. Con. Πείσεις ſunt

affectio-

τὴν τοιαύτην ἡδονὴν, χαρὰν λέγουσιν. ὁρίζονται δὲ τὴν ἡδονὴν, γένεσιν εἰς φύσιν αἰσθητήν. ἔοικε δὲ οὗτος ὁ ὅρος, τῆς σωματικῆς μόνης ἡδονῆς εἶναι. αὕτη γὰρ ἀναπλήρωσίς τις ἐστὶ καὶ ἰατρεία τῆς σωματικῆς ἐνδείας, καὶ τῆς προσγενομένης διὰ τὴν ἔνδειαν λύπης. ῥιγοῦντες γὰρ ἢ διψῶντες, τὴν ἐκ τοῦ ῥίγους καὶ τῆς δίψης θεραπεύοντες λύπην, ἐν τῷ θάλπεσθαι καὶ πίνειν ἡδόμεθα. κατὰ συμβεβηκὸς οὖν εἰσὶν ἀγαθαὶ, καὶ οὐ καθ' ἑαυτὰς, οὐδὲ φύσει. ὡς γὰρ τὸ ὑγιάζεσθαι κατὰ συμβεβηκός ἐστιν ἀγαθὸν, τὸ δὲ ὑγιαίνειν φύσει καὶ καθ' ἑαυτό· οὕτω καὶ αὗται κατὰ συμβεβηκός εἰσιν ἀγαθαὶ, ἰατρεῖαί τινες οὖσαι· αἱ δὲ τῆς θεωρίας ἡδοναὶ καθ' ἑαυτάς εἰσιν ἀγαθαὶ καὶ φύσει. οὐ γὰρ ἐπ' ἐνδείᾳ γίνονται. δῆλον οὖν ἐντεῦθεν, ὡς οὐ πᾶσα ἡδονὴ τῆς ἐνδείας ἐστὶν ἀναπληρωτική. εἰ δὲ τοῦτο, οὐχ' ὑγιὴς ὁ ὅρος, ὁ λέγων, γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι τὴν ἡδονήν.

VAR. LECT. ET ANIMADV.

affectiones humaniores et honeſtiores: πάθη vero *de affectionibus turpioribus* accipitur h. l. De vocabulo πεῖσις diſputavit Gatakerus ad Antonin. p. 76. 77. 202. Derivatur autem a πάσχω, πείσομαι, non a πείθω.

ὁρίζονται δὲ] τινες addit A. 3. Paullo poſt idem omittit οὗτος. Cono incipit libri 4. cap. 11. De definitione voluptatis, ſecundum opinionem falſam: et quid ſecundum veritatem. Quod felicitas non ſit voluptas: et quae purior ſit voluptas corporalis.

σωματικῆς μόνης ἡδονῆς εἶναι] εἶναι, ante μόνης, habet A. 1. 3. Mox ex correct. ἰατρεία, antea ἰατρεῖα. D. 1. ἰατρία. A. 3.

προσγενομένης] προσγινομένης. D. 1. A. 2. προγενομένης. A. 3. Quae — accidit. Con.

ῥιγοῦντες γὰρ] ῥιγοῦντες ex correct. rec., antea ει. Sic mox ῥίγους, loco ῥείγους correctum. D. 1. ῥιγῶντες γάρ. A. 2. Ῥιγέω et ῥιγόω, non ῥιγάω dicitur. Ante ῥιγοῦντες interponit: ὁρίζονται μὲν τὴν ἡδονὴν οὕτως. M. 1.

τὸ ὑγιάζεσθαι] τοῦ ὑγιάζεσθαι. A. 1.

οὕτω καὶ αὗται κατὰ συμβεβηκὸς] αὐταὶ, loco αὗται. A. 1. Pro eo αἱ αὐταί. A. 2. *Ita et ipſae.* Vall.

αἱ δὲ τῆς εἰς θεωρίαν] αἱ δὲ τῆς θεωρίας. D. 1. A. 1. 2. 3. Con. Vall. Mox eſt, ἐκ τῆς θεωρίας. p. 104.

δῆλον οὖν ἐντεῦθεν] ἐν τούτοις, loco ἐντεῦθεν. A. 2.

οὐχ ὑγιὴς ὁ ὅρος] ὁ abeſt. A. 2.

οὐ γὰρ πάσας περιλαμβάνει τὰς ἡδονὰς, ἀλλὰ παραλείπει 104
τὴν ἐκ τῆς θεωρίας. καὶ Ἐπίκουρος δὲ, τὴν ἡδονὴν ὁριζό-
μενος, παντὸς τοῦ λυποῦντος ὑπεξαίρεσιν, τὸ αὐτό φησι
τοῖς λέγουσι, γένεσιν εἰς φύσιν αἰσθητήν. τὴν γὰρ ἀπαλ-
λαγὴν τοῦ λυποῦντος, ἡδονὴν εἶναί φησιν. ἐπειδὴ δὲ οὐδεμία
γένεσις τοῖς οἰκείοις ἀποτελέσμασιν ὁμογενής ἐστιν ἢ συγγενὴς,
οὐδὲ τὴν γένεσιν τῆς ἡδονῆς, ἡδονὴν ἡγητέον, ἀλλὰ παρὰ
τὴν ἡδονὴν ἄλλο τι· ἐν τῷ γίνεσθαι μὲν γὰρ ἡ γένεσίς ἐστιν·
οὐδὲν δὲ τῶν γινομένων ἅμα γίνεται καὶ γέγονεν· ἀλλὰ δῆ-
λον, ὅτι κατὰ μέρος· τὸ δὲ ἡδόμενον ἀθρόως ἥσθη· οὐκ
ἄρα γένεσις ἡ ἡδονή. ἔτι, πᾶσα γένεσις οὐκ ὄντος ἐστίν·
ἡ δὲ ἡδονὴ τῶν ἤδη ὄντων· οὐκ ἔστιν ἄρα γένεσις ἡ ἡδονή.
ἔτι, γένεσις μὲν, ταχεῖα καὶ βραδεῖα λέγεται· ἡδονὴ δὲ
οὔ. ἔτι, τῶν ἀγαθῶν, τὰ μὲν ἕξις ἐστὶ, τὰ δὲ ἐνέργεια,
τὰ δὲ ὄργανα. ἕξις μὲν, ὡς ἀρετή· ἐνέργεια δὲ, ὡς ἡ κατ'
αὐτὴν πρᾶξις. καὶ πάλιν, ἕξις μὲν, ἡ ὁρατική· ἐνέργεια
δὲ, τὸ ὁρᾷν· ὄργανα δὲ, δι' ὧν ἐνεργοῦμεν, ὡς ὀφθαλμὸς
καὶ ποῦτος καὶ τὰ τοιαῦτα. πᾶσαι δὲ αἱ περὶ τὰ ἀγαθὰ καὶ

VAR. LECT. ET ANIMADV.

περιλαμβάνει τὰς ἡδονὰς] μεταλαμβάνει τὰς ἡδονάς. A. 1. Mox, ὑφεξαίρεσιν. D. 1. Apud Diog. Laërt. p. 431. eſt: ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. Vide etiam Plutarch. T. II. p. 1088. C.

ἐπειδὴ δὲ οὐδεμία] οὐ μία, loco οὐδεμία. M. 1.

γίνεσθαι μὲν γὰρ] γὰρ abeſt. D. 1. Mox idem, ἀλλὰ δηλονότι κατά. Paullo poſt ἡδονὴ, loco ἡδόμενον. A. 3.

ἀθρόως ἥσθη] ἥσθησι, ſic, loco ἥσθη. A. 2.

οὐκ ὄντων ἐστὶν] οὐκ ὄντος ἐστίν. D. 1. A. 1. 2. 3. Non entis. Con. Vall.

τὰ μὲν ἕξις ἐστὶ] Sic ex correct. primae manus, antea erat ἔξεστι, loco ἕξις ἐστί. D. 1. Praeterea a man. rec. in marg. ἕξις ἐστὶ ποιότης ἔμμονος.

ὡς ἡ κατ' αὐτὴν πρᾶξις κ. τ. λ.] ὡς ἡ κατὰ ταύτην πρᾶξις, οἷον, ἕξις ἡ ὁρατ. D. 1.

ἕξις μὲν ἡ ὁρατικὴ] ὡς, ante ἡ, interponit A. 3. Addi et omitti poteſt. Sed reliqui omittunt.

καὶ πλοῦτος] καὶ ποῦς ex correct. rec., antea credo πούς. D. 1. Divitiae, Con. Opes. Vall.

φαῦλαι ψυχικαὶ δυνάμεις, ἕξεων τινῶν εἰσι δυνάμεις. εἴπερ οὖν ἀγαθόν ἐστιν ἡδονὴ ἢ φαῦλον, ἐν τούτοις ἔσται μόνοις· ἀλλ' ἕξις μὲν οὐκ ἔστιν. οὔτε γάρ, ὡς ἀρετή· οὐ γὰρ ἂν οὕτω ῥαδίως μετέπιπτεν εἰς τὴν ἐναντίαν ἑαυτῇ λύπην· οὔτε, ὡς ἡ ἀντικειμένη τῇ στερήσει· κατὰ ταυτὸν γὰρ ἕξιν καὶ στέρησιν ἀδύνατον εἶναι· ἅμα δέ τινες ἥδονται καὶ λυποῦνται, ὡς οἱ κνώμενοι· οὐκ ἔστιν ἄρα ἕξις ἡ ἡδονή. ἀλλ' οὐδὲ ὄργανον. τὰ γὰρ ὄργανα καὶ δι' ἄλλα, καὶ οὐ δι' ἑαυτά· ἡ δὲ ἡδονή, οὐ δι' ἄλλο, ἀλλὰ δι' ἑαυτήν· οὐκ ἄρα οὐδὲ ὄργανον. λείπεται δὴ ἐνέργειαν αὐτὴν εἶναι. ὅθεν Ἀριστοτέλης αὐτὴν ὁρίζεται, ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστον.

VAR. LECT. ET ANIMADV.

ἕξεων τινῶν] ἐξ ἐναντίων εἰς. M. 1. Sic.

οὐ φαῦλον] ἢ φαῦλον. D. 1. Hoc recepi. Ἐν τούτοις interpretor, ἢ ἐν τοῖς ἀγαθοῖς μόνοις, ἢ ἐν τοῖς φαύλοις μόνοις. Mox μόνον, loco μόνοις. M. 1.

οὔτε γάρ, ὡς ἀρετὴ] intellige, ἕξις ἐστί. Cono interponit, *ut habitus.*

οὐ γὰρ ἂν οὕτω ῥαδίως] οὐδὲ γὰρ ἂν οὕτως ῥαδίως. D. 1. οὐ γὰρ οὕτω ῥαδίως. A. 1. ἂν abeſt. A. 3.

ἀντικειμένη τῇ στερήσει] ἀντικειμένη αὐτῇ στέρησις. D. 1. Οὔτε, ὡς ἡ ἀντικειμένη (intellige ἕξις) τῇ στερήσει (intellige, ἕξις ἐστί.) h. e. nec eatenus ἡδονὴ eſt ἕξις, quatenus oppoſita eſt τῇ στερήσει. *Habitus* interponit etiam Con. Poſt στερήσει addit Valla: κατὰ ταυτὸν ἂν ἦν. Pro proximo vero κατὰ ταυτὸν videtur legiſſe ἐν ταυτῷ.

οἱ κνώμενοι] οἱ δακνώμενοι, vitioſe et inepte. A. 2. *dormientes*, ſeu, κοιμώμενοι. Vall. Κνώμενοι dixit, quod ii, quibus cutis prurit, cum fricantur, ſimul voluptatem et dolorem ſentiunt. Lepida in hanc rem diſputatio eſt in Phaedone Platonis circa finem capitis 3.

καὶ δι' ἄλλα καὶ οὐ δι' ἑαυτὰ] καὶ primum abeſt. Ox. οὐ omittit A. 1. *Et propter ſe.* Vall.

λείπεται δὴ ἐνέργειαν] δέ, loco δή. A. 2. M. 1. Definitio Ariſtotelis eſt Eth. ad Nicomach. VIII, 12. ubi diſerte additur ἀνεμπόδιστον. Vide etiam Eth. Eudem. VII, 12.

κατὰ φύσιν ἕξεως. συμβαίνει δὲ] κατὰ φύσιν ἕξεως ἀνεμπόδιστον. τὰ γὰρ ἐμπόδια τῆς κατὰ φύσιν ἐνεργείας λύπη· ἀλλὰ καὶ ἡ εὐδαιμονία, ἐνέργειά ἐστιν ἀνεμπόδιστος τῆς

κατὰ

τὰ γὰρ ἐμπόδια τῆς κατὰ φύσιν ἐνεργείας, λύπη· ἀλλὰ καὶ ἡ εὐδαιμονία, ἐνέργειά ἐστιν ἀνεμπόδιστος τῆς κατὰ φύσιν ἕξεως· συμβαίνει δὴ κατὰ τὸν ὅρον τοῦτον, τὴν εὐδαιμονίαν ἡδονὴν εἶναι, καὶ διεσφάλθαι τὸν ὅρον· διορθούμενος οὖν ὡρίσατο τὴν ἡδονὴν, τέλος εἶναι τῶν τοῦ ζώου κατὰ φύσιν ἀνεμποδίστων ἐνεργειῶν, ὡς συμπεπλέχθαι καὶ συνυπάρχειν τῇ εὐδαιμονίᾳ τὴν ἡδονὴν, ἀλλ' οὐχ' ἡδονὴν εἶναι τὴν εὐδαιμονίαν. οὐ πᾶσα δὲ ἐνέργεια κίνησίς ἐστιν, ἀλλ' ἔστι τις καὶ δι' ἀκινησίας ἐνέργεια, καθ' ἣν ὁ πρῶτος ἐνεργεῖ Θεός· τὸ γὰρ πρῶτον κινοῦν ἀκίνητον. τοιαύτη δὲ καὶ ἡ τοῦ θεωρεῖν ἐν ἀνθρώποις ἐνέργεια. διὰ γὰρ ἀκινησίας· καὶ γὰρ τὸ θεωρούμενον ἓν καὶ ταὐτὸν ἀεὶ καὶ ἡ διάνοια τοῦ θεωροῦντος ἕστηκε· περὶ ἓν γὰρ καὶ ταὐτὸν ἀεὶ κατα-

VAR. LECT. ET ANIMADV.

κατὰ φύσιν ἕξεως. συμβαίνει δὴ (δὴ ex correct. rec., antea δὲ, ſequente alia aliqua particula, veluti οὖν.) D. 1. Sic ex MS. edidit, ſed δὲ, loco δή. Ox. Ita habet etiam M. 1. ſed δέ. Sic etiam, ſed δή. A. 1. 2. 3. Interponit haec etiam Valla. Sed Cono haec non agnoſcit.

εἶναι καὶ διεσφάλθαι] εἶναι ἢ καὶ διεσφάλθαι. A. 2. ἐσφάλθαι ſolum mutat. A. 1. διασφαλίσθαι exhibet M. 1. Mox idem omittit οὖν.

ὡρίσατο τὴν ἡδονὴν] συνωρίσατο τὴν ἡδονήν. A. 1. *Simul definivit.* Vall. Mox, εἶναι τοῦ ζώου κατά. A. 1. τῶν ζώων habet M. 1. *Animalis* a natura tributum finem ex actionibus minime impeditis. Vall. Idem συμπεπλέχθαι reddidit, *conformari.*

καθ' ἣν πρῶτος ἐνεργεῖ ὁ θεός] καθ' ἣν ὁ πρῶτος ἐνεργεῖ θεός. Et in marg. a man. rec. ὡς τὸ, ἐνενόησας, καὶ παρέστη σοι πάντα. D. 1. ὁ, ante πρῶτος, habent etiam A. 1. 2. 3. Ergo hoc recepi. Vulgatum tamen malim. Nam altera lectio nimis ſapit Platonis dogma, de quo vide infra p. 167. 168.

θεωρεῖν ἐν ἀνθρώποις] ἐν inſertum a prima man. D. 1.

διὰ γὰρ ἀκινησίας· καὶ γὰρ] poſt ἀκινησίας addit ἐνεργεῖ. D. 1. Per immobilitatem enim ſemper innaſcitur. Con.

ἕστηκε] ἕστηκε, et mox, μεγίστη τε οὖσα, ac deinde, κυριωτάτη. D. 1.

γίνεται. εἰ δὲ τῆς θεωρίας ἡ ἡδονή, μεγίστη τε οὖσα καὶ κυριωτάτη καὶ ἀληθής, δι' ἀκινησίας γίνεται, δῆλον, ὡς αἱ δι' ἐλαττόνων κινήσεων γινόμεναι, ὅσῳ δι' ἐλαττόνων, τοσούτῳ καὶ κρείττους καὶ μείζους εἰσί. συνδιαιροῦνται δὲ ταῖς ἐνεργείαις αἱ ἡδοναὶ κατ' εἶδος. ὅσα γὰρ ἐνεργειῶν εἴδη, τοσαῦτα καὶ ἡδονῶν· καὶ τῶν μὲν καλῶν καλαί, τῶν δὲ φαύλων φαῦλαι· καὶ δῆλον, ὡς καθ' ἑκάστην αἴσθησιν ἕτεραι τῷ εἴδει καὶ ἡδοναί. ἕτεραι γὰρ ἁφῆς καὶ γεύσεως καὶ
106 ἕτεραι τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ τῆς ὀσφρήσεως· καθαρώτεραι δέ εἰσι τῶν αἰσθήσεων, ὅσαι μὴ προσπελάζουσαι τοῖς αἰσθητοῖς ἥδουσιν, ὡς ὄψις καὶ ἀκοὴ καὶ ὄσφρησις. καὶ τῶν διανοητικῶν δὲ εἴδη δύο, καὶ τούτων τὸ μέν ἐστι πρακτικόν, τὸ δὲ θεωρητικόν. δῆλον οὖν, ὅτι καὶ τῶν ἡδονῶν τῶν παρεπομένων ταῖς ἐνεργείαις ταύταις εἴδη δύο. καὶ τούτων δὲ καθαρώτερον τὸ θεωρητικὸν τοῦ πρακτικοῦ. τοῦ δὲ ἀνθρώπου ἴδιαι, καθ' ὃ ἄνθρωπος, αἱ διανοητικαί. κοιναὶ

VAR. LECT. ET ANIMADV.

εἰ δὲ τῆς θεωρίας ἡ ἡδονὴ] ἡ δὲ τῆς θεωρίας ἡδονή. A. 3. Mox idem: γίνεται, ὡς δῆλον ὅς αἱ.

κινήσεων γινόμεναι κ. τ. λ.] κινήσεων γινόμεναι ἡδοναὶ (ὑπὲρ ex correct.) ὅσῳ δὲ δι' ἐλαττ. D. 1. Loco κινήσεων videtur legiſſe ἐνεργειῶν. Con. Mox, κρείσσους. D. 1. A. 1. 2.

συνδιαιροῦνται — εἶδος] abſunt. Vall.

καθ' ἑκάστην αἴσθησιν ἕτεραι] καθ' ἑκάστην κατὰ τὴν αἴσθησιν ἕτεραι. Sic omnia. A. 2.

ἕτεραι τῷ εἴδει καὶ ἡδοναὶ] Cono: Alias eſſe *operationum ſpecies* et item voluptates.

ἁφῆς καὶ γεύσεως] καὶ abeſt. A. 1. tactus *quam* guſtus. Vall. Sic et mox, *quam* auditus. Idem. Mox omittit καὶ τῆς ὀσφρήσεως. A. 3.

προσπελάζουσι] προσπελάζουσαι. A. 2. Non appropinquantes ſenſibilibus delectant. Con. Quae delectant, ſenſibilia neutiquam attingentes. Vall. Αἰσθητοῖς omittit M. 1.

διανοητικῶν δὲ] δὲ abeſt. A. 2. διανοητικῶν ἤδη δύο. καὶ τούτων τὸ μέν. A. 3.

εἴδη δύο. τὸ κ. τ. λ.] εἴδη δύο. καὶ τούτων τὸ μέν ἐστι πρακτικόν. εἴδη δύο καὶ τούτων. τὸ μὲν γάρ ἐστι πρακτικόν. A. 2. Καὶ τούτων habet etiam Con.

κοιναὶ γὰρ] Communes vero. Con.

γὰρ, καθ' ὃ ζῶον, αἱ αἰσθητικαὶ καὶ πρὸς τὰ ἄλλα ζῶα. ἐπειδὴ δὲ τῶν αἰσθητικῶν ἡδονῶν οἱ μὲν ἄλλαις, οἱ δὲ ἄλλαις ἥδονται, οὐχ αἱ τοῖς φαύλοις, ἀλλ' αἱ τοῖς σπουδαίοις καλαὶ φαινόμεναι, καὶ καθ' ἑαυτὰς εἰσι καλαί. κριτὴς γὰρ ὀρθὸς ἐπὶ παντὸς πράγματος οὐχ ὁ τυχὼν, ἀλλ' ὁ ἐπιστήμων καὶ κατὰ φύσιν διακείμενος.

ΚΕΦ. ΙΘ'.

ΠΕΡΙ ΛΥΠΗΣ.

Τῆς δὲ λύπης εἴδη τέσσαρα, ἄχος, ἄχθος, φθόνος, ἔλεος. ἔστι δὲ ἄχος, λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος δὲ, λύπη βαρύνουσα· φθόνος δὲ, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεος δὲ, λύπη ἐπ' ἀλλοτρίοις κακοῖς. πᾶσα δὲ λύπη κακὸν τῇ ἑαυτῆς φύσει. εἰ γὰρ καὶ ὁ σπουδαῖος λυπηθήσεταί ποτε, χρηστῶν ἀνδρῶν διαφθειρομένων, ἢ τέκνων, ἢ πόλεως πορθουμένης· ἀλλ' οὐ προηγουμένως, οὐδὲ κατὰ πρόθεσιν, ἀλλὰ κατὰ περίστασιν. καὶ ἐν τούτοις δὲ ὁ μὲν θεωρητικὸς ἀπαθὴς ἔσται παντάπασιν, ἀλλοτριώσας ἑαυτὸν τῶν τῆδε,

VAR. LECT. ET ANIMADV.

οἱ μὲν ἄλλαις] γὰρ, post μὲν addit M. 1.

κατὰ φύσιν διακείμενος] qui rei naturam discernit. Cono. Ac si legerit, τὴν τοῦ πράγματος φύσιν διακρινόμενος. Valla: qui a natura bene institutus est.

Cap. 19. Index idem. A. 3. Idem: sed caput ιη. D. 1. A. 1. Idem, sed a man. rec. et ιθ. loco ιη. A. 2. Loco κεφ. ιθ. est λόγος ιθ. M. 1. De aegrimonia. cap. 18. Vall. Cono incipit libri 4. cap. 12. De tristitia et ejus speciebus. Compara Jo. p. 182. B.

ἄχθος δὲ, λύπη βαρύνουσα] Solicitudo autem aegrimonia aggravans *et auxilium reddens*. Vall. Λύπη et novem ejus species definiuntur apud Diog. Laërt. in Zenone p. 275. ubi nihil huic definitioni additur. Mox καλοῖς, loco ἀγαθοῖς. M. 1.

ἔλεος δὲ λύπη] λύπη hic deest. additur autem mox post κακοῖς. A. 2. Mox, φθειρομένων. Idem.

κακὸν τῇ ἑαυτῆς φύσει] malum natura reciprocum est ac in se rediens. Vall.

καὶ συνάψας Θεῷ· ὁ δὲ σπουδαῖος, μετριοπαθὴς ἐν αὐταῖς,
107 καὶ οὐχ ὑπερβάλλων, οὐδὲ αἰχμαλωτιζόμενος ὑπ' αὐτῶν·
ἀλλὰ μᾶλλον κρατῶν αὐτῶν. ἀντίκειται δὲ ἡ λύπη, ὡς
μὲν κακὸν καλῷ, τῇ μετρίᾳ ἡδονῇ· ὡς δὲ κακὸν κακῷ, τῇ
ὑπερβαλλούσῃ ἡδονῇ. ἐν ταῖς σωματικαῖς δὲ μόναις αἱ ὑπερ-
βολαὶ γίνονται· αἱ γὰρ θεωρητικαὶ, ἄκραι τινὲς οὖσαι, καὶ
τὸ τέλειον ἔχουσαι, τὴν ὑπερβολὴν οὐκ ἐπιδέχονται. οὐδὲ
γὰρ ἀντίκειται αὐταῖς λύπη, οὐδ' ἐπὶ θεραπείᾳ προηγησα-
μένης λύπης γίνονται.

VAR. LECT. ET ANIMADV.

μετριοπαθὴς ἐν αὐταῖς κ. τ. λ.] μετριοπαθήσει ἐν αὐταῖς καὶ οὐχ ὑπερβαλλόντως. D. 1. μετριοπαθήσει ἐπ' αὐταῖς καὶ οὐχ ὑπερβάλλον. A. 2. μετριοπαθήσει ἐπ' αὐταῖς. A. 3. Si quis probaverit μετριοπαθήσει, delebit etiam καὶ, ante οὐχ. Cono: Bonus autem moderate tolerando haec, *ſuperior effectus*, non modo non vincitur ab eis, ſed potius *eas* continet compeſcitque. Valla: in ipſis mediocriter afficietur non excedens, neque ab ipſis ſubactus ſummiſſusque erit. Proxima participia αἰχμαλωτιζόμενος et κρατῶν ſatis vindicant lectionem vulgatam, in qua intelligendum eſt ἔσται. Sic paullo ante ἀπαθὴς ἔσται. Sed ἐν αὐταῖς adhuc moleſtum eſt. Requiritur enim ἐν αὐτοῖς, uti paullo ante ἐν τούτοις. Ἐν αὐταῖς ad λύπαις referri nequit, cum in vicino λύπαι non legatur. Sed nec ad περιστάσεις poteſt reſpicere. Ad οὐχ ὑπερβάλλων intellige, ἐν τῷ λυπεῖσθαι, *non modum excedens*.

δὲ λύπη ὡς μὲν κ. τ. λ.] δὲ ἡ λύπη ὡς μὲν καλῷ κακόν. Et in marg. a man. rec. γρ. ὡς μὲν καλὸν (Sic.) καλῷ. D. 1. ἡ, ante λύπη, addit etiam A 2. καλὸν κακῷ ſolum mutat. A. 1. M. 1. ἀντίκειται δὲ ἡ λύπη ὡς μὲν καλῷ κακόν. A. 3. *Ut honeſtum turpi.* Vall.

ἐν ταῖς σωματικαῖς δὲ μόναις αἱ ὑπερβολαὶ] μόναις αἱ omittit A. 1. αἱ omittit D. 1. ἐν ταῖς σωματικαῖς ὑπερβολαῖς. Sic. A. 2.

οὐδὲ ἀντίκειται] οὐδὲ γὰρ ἀντίκειται. A. 1. 2. 3. Con. Sic, ſed ſyllaba ει ex correct., antea credo η. D. 1. Mox idem, αὐτοῖς λύπη. Γὰρ notat etiam in marg. Ant.

οὐδ' ἐπὶ θεραπείᾳ] οὐδὲ, loco οὐδ'. A. 1. οὐδ' ἐπεὶ θερ. προηγησαμένη λύπη. Sic. A. 3. Valla inepte reddidit, *ſervitio*. Mox γίνεται. M. 1.

ΚΕΦ. Κ.

ΠΕΡΙ ΦΟΒΟΥ.

Διαιρεῖται δὲ καὶ ὁ φόβος εἰς ἕξ, εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, εἰς ἀγωνίαν· ἔστι δὲ ὄκνος μὲν, φόβος μελλούσης ἐνεργείας· κατάπληξις δὲ, φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δὲ, φόβος ἐξ ἀσυνήθους φαντασίας· ἀγωνία δὲ, φόβος διαπτώσεως, τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως, ἀγωνιῶμεν· αἰδὼς δὲ, φόβος ἐπὶ προσδοκίᾳ ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰσχύνη δὲ, φόβος ἐπ' αἰσχρῷ

VAR. LECT. ET ANIMADV.

Cap. 20. περὶ φόβου. κεφ. κ.] περὶ φόβου. ιθ. A. 1. περὶ φόβου. κ. a man. rec. A. 2. In Cod. D. 1. hic continuo ſequitur: περὶ θυμοῦ. ιθ. ac deinde demum: περὶ φόβου. κ. Codex M. 1. etiam caput περὶ θυμοῦ habet ante caput περὶ φόβου. Ergo iſtud eſt λόγος κ. hoc λόγος κα. notatum. In Cod. A. 3. περὶ θυμοῦ eſt caput κ. περὶ φόβου. κα. Valla poſt caput περὶ λύπης deinceps habet caput 19. De ira. et cap. 20. De metu. Ergo hoc loco notabiliter diſſentit ab A. 1. Cono incipit libri 4. cap. 13. De ira et ejus ſpeciebus. Ergo caput 21. ante 20. exhibet. Deinde addit cap. 14. De timore et ejus ſpeciebus. Confer Jo. p. 182. C.

εἰς ἀγωνίαν, εἰς ἔκπληξιν] εἰς ἔκπληξιν, εἰς ἀγωνίαν. D. 1. A. 1. 3. εἰς ἔκπληξιν καὶ εἰς ἀγωνίαν. A. 2. Con. Vall. De metu et ejus ſpeciebus vide Diog. Laërt. in Zenone p. 276.

ἔστι δὲ ὄκνος] ὁ, ante ὄκνος, addit A. 2.

φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δὲ] abſunt. Vall. Sed poſt ἀσυνήθους φαντασίας addit: *Trepidatio* (ſic reddidit ἔκπληξιν.) *eſt metus voce et motu corporis expreſſus.* Sed haec definitio non eſt in Graeco.

ἀγωνία — ἀποτυχίας] Solicitudo eſt metus *dilabendi atque ſub caſum aliquem ſuccidendi.* Valla. Inepte.

αἰδὼς δὲ φόβος] αἰδὼς ex correct. rec., antea αἰδώ. D. 1. Mox in eodem αἰδῶ et ex corr. rec. αἰδῶ. Atque ita etiam paullo poſt.

πεπραγμένῳ. οὐδὲ τοῦτο δὲ ἀνέλπιστον εἰς σωτηρίαν· ταύτῃ δὲ διαφέρει αἰδὼς αἰσχύνης, ὅτι ὁ μὲν αἰσχυνόμενος, ἐφ' οἷς ἔπραξε, καταδύεται· ὁ δὲ αἰδούμενος φοβεῖται περιπεσεῖν ἀδοξίᾳ τινί. καλοῦσι δὲ οἱ παλαιοὶ πολλάκις καὶ τὴν αἰδῶ αἰσχύνην, καὶ τὴν αἰσχύνην αἰδῶ, καταχρώμενοι τοῖς ὀνόμασι. γίνεται δὲ ὁ φόβος κατὰ περίψυξιν, τοῦ θερμοῦ παντὸς συντρέχοντος εἰς τὴν καρδίαν, ἐπὶ τὸ ἀρχικὸν, καθάπερ καὶ ὁ δῆμος, ὅταν φοβῆται, καταφεύγει πρὸς τοὺς
108 ἄρχοντας. τῆς δὲ λύπης ὄργανον, τὸ στόμα τῆς κοιλίας. τοῦτο γάρ ἐστι τὸ τῆς δήξεως αἰσθανόμενον ἐν ταῖς λύπαις, „ὡς ὁ Γαληνὸς ἐν τῷ τρίτῳ τῆς ἀποδεικτικῆς φησὶν οὕτω „πως· τοῖς λυπουμένοις οὐκ ὀλίγον εἰς τὴν γαστέρα καταῤῥεῖ „ξανθῆς χολῆς, ὃ τὴν δῆξιν αὐτοῖς παρέχει, καὶ οὐ πρό„τερον παύονται λυπούμενοι καὶ δακνόμενοι, πρὶν ἐξεμέσαι „τὴν χολήν." γίνεται γὰρ ἡ δῆξις αὐτοῖς ὑποκάτω τοῦ κατὰ τὰ μέσα στέρνα χόνδρου, τοῦ ξιφοειδοῦς ὀνομαζομένου. πολὺ

VAR. LECT. ET ANIMADV.

ἀνέλπιστον εἰς σωτηρίαν] in edit. Antverp. vitioſe eſt οὐρανίαν, pro quo in nonnullis exemplis p. 181. correctum eſt σωτηρίαν. Nec aliter Codices habent. A. 3. οὐδὲ τοῦτό ἐστιν ἀνέλπιστον εἰς σωτηρίαν.

καταδύεται] καταδύηται. M. 1. confunditur atque contabeſcit. Vall. Proxima etiam pro arbitrio reddidit, ac ſi repererit, ἐκπεσεῖν δόξης.

καὶ τὴν αἰδῶ] καὶ abeſt. M. 1. καὶ τὴν αἰσχύνην αἰδῶ, καὶ τὴν αἰδῶ αἰσχύνην. A. 3. Idem paullo poſt habet συντρέψοντος, ſic, loco συντρέχοντος. Forte voluit συστρέψαντος.

ἐπὶ τὸ ἀρχικὸν] ἐπὶ τὸν ἀρχικόν. A. 2. Paullo ante: εἰς τὴν καρδίαν. M. 1. Cono addit ὡς, *quaſi ad principale.* Non male. Forte Valla etiam invenit ὡς. Certe, *utpote*, interpoſuit. Mox, καθάπερ ὁ δῆμος. D. 1. Deinde, φοβεῖται καταφεύγειν. M. 1. φοβεῖται etiam A. 3.

τῆς δὲ λύπης] τῆς λύπης δέ. A. 3. Mox idem, δείξεως. Vitioſe! Sic et mox eſt ει, loco η in eodem vocabulo.

ὡς ὁ γαληνὸς] ὁ abeſt. A. 2. Mox, οὕτω πῶς. D. 1. οὕτω ſine πως. A. 3.

κατὰ μέσα στέρνα] κατὰ τὰ μέσα στέρνα. A. 1. τὰ inſertum. A. 2. De ξιφοειδὲς vide Pollucem lib. II. p. 234.

δὲ ἀνωτέρω κεῖται ἡ καρδία· τοῦ γὰρ διαφράγματος ἡ μὲν γαστὴρ κατωτέρω ἐστίν· ἡ δὲ καρδία ἀνωτέρω. συνήθως δὲ οἱ παλαιοὶ καρδίαν καὶ τὸ στόμα τῆς γαστρὸς καλοῦσιν, ὡς Ἱπποκράτης καὶ Θουκυδίδης ἐν τῷ λοιμῷ λέγων οὕτως· „καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε „αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὁπόσαι ἀπὸ ἰατρῶν „ὠνομασμέναι εἰσίν, ἐπήεσαν." τὸ γὰρ ἀναστρεφόμενον, τὸ στόμα τῆς γαστρός ἐστιν, ἀναγκαζόμενον ἐμεῖν, οὐ τὸ σπλάγχνον, ἡ καρδία.

VAR. LECT. ET ANIMADV.

ἡ μὲν γαστὴρ κατωτέρω] μὲν omittit A. 2. κατωτέρα exhibet D. 1. A. 3.

καρδίαν καὶ τὸ στόμα τῆς γαστρὸς] καὶ τὸ στόμα τῆς γαστρὸς καρδίαν. A. 3. Mox idem: λέγει οὕτως· ὁπότε.

Θουκυδίδης] Libro III. cap. 49. Valla: in Loëmo. (λοιμῷ.) Tanquam λοιμὸς ſit nomen tragoediae aut comoediae. Redde: in narratione de peſte.

καὶ ὁπότε εἰς τὴν καρδίαν] loco καὶ ὁπότε, habet ἤνποτε, ſed ex correct. rec., antea ἤνποτε. D. 1. ἤν ποτὲ habet A. 1. καὶ ſolum omittit A. 2. Loco καὶ ὁπότε — στηρίξαι habet: ἤν ποτε — στηρίζεται. M. 1. Mox, στηρίξαι χυμόν. ἀνέστρεφέ τε, ultimum ε. in ἀνέστρ. ex corr. rec. D. 1.

ἀποκαθάρσεις] ἀποκάθαρσις. A. 2. M. 1. Sic antea, nunc ex correct. vulgatum. D. 1. Mox, ὁπόσαι ἀπ' ἰατρῶν D. 1. ὑπὸ, loco ἀπό. A. 3. Deinde, εἰσὶν ὠνομασμέναι. A. 1.

ἐπήεσαν] ex corr., antea ἐπίεσαν. D. 1. Mox τὸ, ante στόμα, omittit A. 2.

οὐ τὸ σπλάγχνον] οὗ τὸ σπλάγχνον. D. 1. Poſt καρδία Cono ſtatim tranſit ad cap. 22. Τὸ μὲν οὖν. Valla ἐμεῖν reddidit, *manere*. Ergo μένειν.

ΚΕΦ. ΚΑ.

ΠΕΡΙ ΘΥΜΟΥ.

Θυμὸς δέ ἐστι, ζέσις τοῦ περὶ καρδίαν αἵματος, ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως γινομένη. διὸ καὶ χολὴ λέγεται καὶ χόλος. ἔστι δ' ὅτε καὶ ὁ θυμός ἐστιν, ὄρεξις ἀντιτιμωρήσεως. ἀδικούμενοι γὰρ, ἢ νομίζοντες ἀδικεῖσθαι, θυμούμεθα, καὶ γίνεται τότε μικτὸν τὸ πάθος ἐξ ἐπιθυμίας καὶ θυμοῦ. εἴδη δὲ τοῦ θυμοῦ τρία, ὀργὴ, ἡ καὶ χολὴ καὶ χόλος καλεῖται, μῆνις, καὶ κότος. θυμὸς μὲν
109 γὰρ, ἀρχὴν καὶ κίνησιν ἔχων, ὀργὴ καὶ χολὴ καὶ χόλος λέγεται· μῆνις δὲ, χολὴ εἰς παλαίωσιν ἀγομένη· εἴρηται

VAR. LECT. ET ANIMADV.

Cap. 21. Index: περὶ θυμοῦ. ιθ. D. 1. A. 1. De ira. cap. 19. Vall. In marg. D. 1. a manu rec. leguntur variae ſignificationes vocabuli θυμὸς, quae licet reperire in Etymologico M. et apud Euſtath. ad Il. p. 8.

θυμὸς δέ ἐστι ζέσις τοῦ περὶ καρδίαν] δὲ abeſt. D. 1. περικαρδίου, loco περὶ καρδίαν. A. 1. 3. Mox ἀνακλώσεως, loco ἀναθολώσεως. M. 1. et γινομένη ex correct., antea γενομ. D. 1. γινομένης. A. 3. Confer Jo. p. 182. D. et Diog. Laërt. p. 276. Pro *reſpiratione* editor Oxonienſis dedit, *ſuffuſione*. Cic. de N. D. II, 10. 33. habet *reſpiratio* et *expiratio*.

ἔστι δ' ὅτε καὶ ὁ θυμὸς] δὲ, loco δ'. D. 1. A. 1. 2. Sed ὁ omittit A. 1. Mox ἐστιν omittit A. 2.

εἴδη δὲ τοῦ θυμοῦ κ. τ. λ.] εἴδη δὲ τοῦ θυμοῦ τρία, ὀργὴ καὶ χολὴ καὶ χόλος, ὃς καλεῖται. A. 1. Sic, omiſſo καὶ poſt ὀργή. A. 2. εἴδη δὲ τοῦ θυμοῦ τρία, ὀργὴ, χόλος, ὃς καλεῖται. D. 1. Loco ὀργὴ ἡ καὶ χολὴ καὶ χόλος habet: ὀργὴ καὶ χόλος ὃς καλεῖται. M. 1. εἴδη δὲ τοῦ θυμικοῦ τρία, μῆνις, ὀργὴ καὶ χόλος, ὃς καλεῖται μῆνις καὶ κότος. A. 3. Mox καὶ ante κότος omittit A. 2. Irae nempe ſpecies ſunt tres, moroſitas, ſuccenſio, cholera, quae vocatur iracundia. Simultas ira ſiquidem principium et commotionem habens, moroſitas et bilis et excandeſcentia dicitur. Vall.

θυμὸς μὲν γὰρ] Apud Diog. Laërt. p. 276. eſt: θυμός ἐστιν ὀργὴ ἀρχομένη. Et: μῆνίς ἐστιν ὀργὴ πεπαλαιωμένη.

γὰρ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παραδεδόσθαι· κότος δὲ, ὀργὴ ἐπιτηρεῦσα καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ καὶ οὗτος παρὰ τὸ κεῖσθαι. ἔστι δὲ ὁ θυμὸς τὸ δορυφορικὸν τοῦ λογισμοῦ. ὅταν γὰρ οὗτος ἄξιον κρίνῃ τὸ γενόμενον ἀγανακτήσεως, τότε ὁ θυμὸς ἐπεξέρχεται, ἐὰν κατὰ φύσιν τὴν οἰκείαν τάξιν φυλάττωσιν.

VAR. LECT. ET ANIMADV.

παρὰ τὸ μένειν] Cono Graece habet, ἀπὸ τοῦ μένειν. Mox idem omittit: εἴρηται δὲ — κεῖσθαι. Valla μῆνις reddit, *iracundia*, ac deinde, παρὰ τὸ μένειν, ita mutat: *ab ira et condo, unius literae inverſione.* Ergo Latinam etymologiam pro Graeca interpoſuit. Sic et paullo poſt ſuo arbitrio mutat εἴρηται — κεῖσθαι.

καὶ οὗτος παρὰ τὸ κεῖσθαι] παρὰ τὸ κεῖσθαι καὶ οὗτος. A. 3.

δορυφορικὸν] δωρυφορικόν. Sic. D. 1. δορυκόν. A. 3. Cono: mentis apparitor, concupiſcentiae vindex. Ceterum Nemeſius videtur hic imitatus eſſe Platonem in Timaeo p. 492.

ὅταν γὰρ οὗτος ἄξιον] δὲ, loco γάρ. A. 1. Mox τὸ γενόμενον. D. 1. A. 1. Loco, ὅταν γὰρ — φυλάττωσιν, in fine Cono addit haec: Cum enim rem aliquam concupiſcimus, a qua prohibemur, ob id quaſi injuria affecti iraſcimur, ratione ipſa juſtae vindictae ſententiam in hos ferente, qui rerum ordinem et naturam non cuſtodierint, praeſertim ſi ſuapte natura ordinem ſervantia hunc perverſa transgrediantur.

ὑπεξέρχεται] ἐπεξέρχεται. D. 1. A. 1. 3. παρέρχεται. M. 1. Notum eſt, ἐπεξέρχεσθαι, non ὑπεξέρχεσθαι, eſſe *ulciſci, vindictam ſumere.* ὑπεξέρχεσθαι eſt *clam exire, clam ſe ſubtrahere.* Valla: *Proſilit evagatus.* Mox, τάξιν φυλάττουσιν. A. 2.

ΚΕΦ. ΚΒ.

ΠΕΡΙ ΤΟΥ ΑΛΟΓΟΥ ΤΟΥ ΜΗ ΚΑΤΗΚΟΟΥ ΛΟΓΩι.

Τὸ μὲν οὖν ἐπιπειθὲς λόγῳ τοῦτον ἔχει τὸν τρόπον. τοῦ δὲ μὴ πειθομένου λόγῳ, ἔστι τό τε θρεπτικὸν καὶ γεννητικὸν καὶ σφυγμικόν. καλεῖται δὲ φυσικὸν μὲν, τὸ θρεπτικὸν καὶ γεννητικόν· ζωτικὸν δὲ, τὸ σφυγμικόν.

ΚΕΦ. ΚΓ.

ΠΕΡΙ ΤΟΥ ΘΡΕΠΤΙΚΟΥ.

Τοῦ θρεπτικοῦ φυσικαὶ δυνάμεις εἰσὶ τέσσαρες, ἑλκτικὴ, καθεκτικὴ, ἀλλοιωτικὴ, ἀποκριτική· ἕκαστον γὰρ τῶν μορίων

VAR. LECT. ET ANIMADV.

Cap. 22. Index: περὶ τοῦ ἀλόγου τοῦ μὴ κατηκόου λόγῳ. κκ. D. 1. Sic, sed μὴ abest. A. 1. Indicem eundem a man. rec. habet, sed κβ. loco κκ. A. 2. Loco κεφ. κβ. est λόγος κβ. M. 1. περὶ τοῦ ἀλόγου τοῦ μὴ κατηκόου λόγου. Sic in principio: Sed ante hoc caput: περὶ τοῦ λόγου τοῦ μὴ καθήκοντος λόγῳ. κβ. A. 3. De irrationali et inobediente rationi. Cap. 21. Vall.

τοῦ δὲ μὴ πειθομένου] Cono incipit libri 4. cap. 15. De vi nutritiva et modo.

ἔστι τό τε θρεπτικὸν] ἔστι τὸ θρεπτικόν. D. 1. A. 2. Mox θρεπτικὸν καὶ γεννητικὸν loco γεννητικὸν καὶ θρεπτικόν. D. 1. A. 1. 2. Vall. Habet haec Jo. p. 180. E. quo in loco est φυτικὸν, loco φυσικόν. *Naturalis*. Con.

Cap. 23. Index: περὶ τοῦ θρεπτικοῦ. κβ. D. 1. A. 1. Sic, sed κγ. A. 3. Διαίρεσις τῶν δυνάμεων τοῦ θρεπτικοῦ. κγ. a man. rec. A. 2. De nutritivo. cap. 22. Vall. Haec superioribus jungit. Con. Loco κεφ. κγ. est λόγος κγ. M. 1.

τοῦ θρεπτικοῦ φυσικαὶ] δὲ, post τοῦ, addit D. 1. vid. Jo. p. 180. E.

ἑλκτικὴ — ἀποκριτικὴ] appetitiva, retentiva, expulsiva et distributiva. Vall. καὶ, ante ἀποκριτικὴ, addit A. 3.

καθεκτικὴ] καθελκτικὴ, sed λ. a primo punctis notatum. D. 1.

τοῦ ζώου Φυσικῶς ἕλκει πρὸς ἑαυτὸ τὴν οἰκείαν τροφὴν, καὶ ἑλκύσαν κατέχει, καὶ κατασχὸν εἰς ἑαυτὸ μεταβάλλει, καὶ οὕτως τὸ περιττὸν ἐξωθεῖ. καὶ αὗταί εἰσιν αἱ δυνάμεις αἱ τὴν τροφὴν τῶν μορίων τοῦ σώματος διοικοῦσαι, ἐξ ὧν ἡ αὔξησις, ἥτε κατὰ μῆκος καὶ πλάτος, γίνεται. ἐκκρίνεται δὲ τὰ περιττὰ διὰ γαστρὸς, δι' οὔρων, δι' ἐμέτων, δι' ἱδρώτων, διὰ στόματος, διὰ ῥινῶν, δι' ὤτων, δι' ὀφθαλμῶν, διὰ τῆς ἐκπνοῆς, διὰ τῶν ἀδήλων πόρων. αἱ μὲν οὖν 110
ἄλλαι ἐκκρίσεις πρόδηλοι· δι' ὤτων δὲ, ἡ καλουμένη κυψέλη, ἥτις ἐστὶ ῥύπος τῶν ὤτων· διὰ δὲ τῶν ὀφθαλμῶν, δάκρυα καὶ λῆμαι· διὰ δὲ τῆς ἐκπνοῆς, τὸ λιγνυῶδες τῆς θερμότητος τῆς καρδίας. ἀδήλους δὲ πόρους Φασὶ, τὴν διαπνοὴν παντὸς τοῦ σώματος, καθ' ἣν ἐκ τοῦ βάθους καὶ τῆς συστολῆς τῶν ἀρτηρίων ἀτμοὶ πλεῖστοι διὰ τῆς μανότητος τοῦ δέρματος διεξέρχονται. ὄργανα δὲ τοῦ θρεπτικοῦ, τό τε στόμα καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὸ ἧπαρ, αἵ τε Φλέβες πᾶσαι, τά τε ἔντερα καὶ αἱ χολαὶ ἀμφότεραι, καὶ οἱ νεφροί. τὸ γὰρ στόμα πρῶτον προκατασκευάζει τῇ γαστρὶ τὴν τροφὴν εἰς λεπτὰ κατατέμνον αὐτὴν διὰ τῶν ὀδόντων

VAR. LECT. ET ANIMADV.

D. I. Mox, καὶ ἑλκῦσαν ex rafura, antea οὔ: D. I. deinde, δι' ἐμέτων. Idem. Loco τὴν οἰκείαν τροφὴν, folum habet τὸ οἰκεῖον. Con.

καὶ πλάτος] Cono addit: καὶ βάθος. Mox idem ab δι' ἱδρώτων ad ὀφθαλμῶν folo vocabulo *expuitionem* reddidit.

ἐκκρίνεται δὲ] γὰρ, loco δέ. A. 3. Mox idem fic: ἱδρώτων, δι' ὀφθαλμῶν, διὰ τῆς ἐκπνοῆς τῶν ἀδήλων πόρων, διὰ στόματος, διὰ ῥινῶν, δι' ὤτων.

κυψελὴ] κυψέλη. D. I. A. I. 2. κυψελίς. M. I. A. 3. Dicitur etiam κυψελλὶς et κυψελίς. Vide Hefychium. Mox λῆμμαι. A. I. 3. Proximum δὲ abeft. A. 3.

λιγνυῶδες] ληγνυῶδες. D. I. λιγνῶδες. A. 3. λιγνυῶδες. A. I. 2. M. I. Sic pag. 113. recte eft editum. Mox, πόρους τινές Φασι. A. 2. *Dicimus*. Vall. Sed A. 3. πόρους Φησί.

διεξέρχονται] διεξέρχεται. A. 2.

καὶ ὁ στόμαχος] ὁ abeft. D. I. Mox ἧπαρ et ex correct. rec. ἧπαρ. atque fic inferius. D. I.

πρῶτον προκατασκευάζει] πρῶτον παρασκευάζει. D. I.

καὶ τῆς γλώττης. μεγίστην γὰρ καὶ ἡ γλῶττα χρείαν παρέ-
χεται τῇ διαμασήσει, συνάγουσα τὴν τροφὴν καὶ τοῖς ὀδοῦσιν
ὑποβάλλουσα, καθάπερ αἱ ἀλετρίδες διὰ τῆς χειρὸς τὸν
σῖτον ταῖς μύλαις. τρόπον γάρ τινα καὶ ἡ γλῶττα χείρ
ἐστι τῆς διαμασήσεως. οὕτω δὲ κατεργασθεῖσα ἡ τροφὴ,
παραπέμπεται τῇ κοιλίᾳ διὰ τοῦ στομάχου· ὁ γὰρ στόμα-
χος οὐ μόνον αἰσθητήριόν ἐστι τῆς ἐνδείας, ἀλλὰ καὶ δίο-
δος τῶν σιτίων. ἀνατρέχει γὰρ ἐν τῇ καταπόσει καὶ ἐπισπᾶ-
ται τὴν τροφὴν, καὶ παραπέμπει τῇ κοιλίᾳ. ἡ δὲ κοιλία
παραλαβοῦσα χωρίζει τὸ χρηστὸν καὶ τὸ τρόφιμον ἀπὸ τοῦ
λιθώδους καὶ ξυλώδους καὶ ἀτρόφου· καὶ τὸ μὲν χρηστὸν,
εἰς χυμοὺς μεταβάλλουσα, ἀναπέμπει τῷ ἥπατι διὰ τῶν
φλεβῶν τῶν ἑλκουσῶν ἀπ' αὐτῆς καὶ διοχετευουσῶν εἰς τὸ
111 ἧπαρ, αἵτινες φλέβες ῥίζαις ἐοίκασι τοῦ ἥπατος, ἑλκούσαις
ἀπὸ τῆς γαστρὸς τὴν τροφὴν, ὡς ἀπὸ τῆς γῆς ἕλκουσιν αἱ
τῶν φυτῶν ῥίζαι. ἔοικε γὰρ ἡ μὲν κοιλία τῇ γῇ, τῇ παρε-
χούσῃ τὴν τροφὴν τοῖς φυτοῖς· ῥίζαις δὲ, αἱ φλέβες, αἱ
ἐπὶ τὰς πύλας καὶ τὰ σιμὰ τοῦ ἥπατος ἀνάγουσαι τὸν χυ-
μὸν ἀπό τε τῆς γαστρὸς καὶ τῶν ἐντέρων διὰ τοῦ μεσαραίου·

VAR. LECT. ET ANIMADV.

καθάπερ αἱ ἀλετρίδες] καθάπερ ἀλέτριδες. A. 2. αἱ et mox τῆς abeſt. A. 3.

δίοδος] καὶ, ante δίοδος, abeſt. A. 3. *transmiſſor.* Vall. Idem mox, παραπέμπει τῇ κοιλίᾳ, *in alvum demittit.* Ab ἀνατρέχει ad χωρίζει abeſt. M. 1. Ἀνατρέφεται, loco ἀνατρέχει. A. 3.

ἡ δὲ κοιλία παραλαβοῦσα] μεταλαβοῦσα, loco παραλ. A. 2.

διὰ τῶν φλεβῶν τῶν ἑλκ. ἀπ' αὐτῆς] per venas per ſeſe emungentes. Vall.

ῥίζαις ἐοίκασι] ῥίζες ἐοίκασι et ex correct. ἐοίκ. D. 1. Mox ἕλκουσι. M. 1.

ἕλκουσιν αἱ] αἱ abeſt. M. 1. et mox, ἔοικε μὲν ἡ γάρ. Idem.

τὴν τροφὴν] τὴν abeſt. D. 1. A. 2. Mox ῥίζες, loco ῥίζαις. D. 1. ao deinde, τὰ σιμᾶ. Idem.

ἀνάγουσαι τὸν χυμὸν] ἀντανάγουσαι τῶν χυμῶν ἀπό τε τῆς γαστρός. A. 2. τε, poſt ἀπὸ, addit etiam A. 3. D. 1. Mox ἐντέρων. D. 1. A. 1. 2. 3. loco ἐντερῶν.

μεσαραίου] μεσαρέου. D. 1. A. 2. ἀπὸ τοῦ μεσαραίου. A. 3. Μεσάραιον idem eſt, quod μεσεντέριον. Vide Stephani Lexi-

πρέμνῳ δὲ, τὸ ἧπαρ αὐτό· κλάδοις δὲ καὶ ἀκρέμοσιν, αἱ φλέβες αἱ κατασχιζόμεναι τῆς κοίλης φλεβὸς, τῆς ἀποφυομένης ἐκ τῶν κυρτῶν τοῦ ἥπατος. τὸ γὰρ ἧπαρ δεξάμενον ἐκ τῆς κοιλίας τὸν χυμὸν συμπέσσει τε καὶ ἐξομοιοῖ ἑαυτῷ. ὁμοιοτάτην δὲ ἔχον τὴν σάρκα τῷ αἵματι, εἰκότως εἰς αἷμα μεταβάλλει τὸν χυμόν. τὸ δὲ αἷμα καθαίρεται διά τε τοῦ σπληνὸς καὶ τῆς χοληδόχου κύστεως καὶ τῶν νεφρῶν· τοῦ μὲν σπληνὸς τὸ τρυγῶδες ἕλκοντος καὶ τροφὴν οἰκείαν ποιουμένου· τῆς δὲ χοληδόχου κύστεως τὸ δριμὺ, τὸ ἐναπομεῖναν τοῖς χυμοῖς ἐκ τῆς τροφῆς· τῶν δὲ νεφρῶν, τὸ ὀῤῥῶδες μετὰ τοῦ περιλειπομένου δριμέος, ὡς καθαρὸν λοιπὸν καὶ

VAR. LECT. ET ANIMADV.

Lexicon Medicum, ubi hoc exponit Rufus Ephesius p. 542. Cicero de nat. deor. II, 55. §. 137. appellat *intestinum medium*. Cono: *Mesareum*. Valla: *Per medium defluxum*. Mox ἧπαρ et ex correct. rec. ἧπαρ. D. 1. et sic paullo post.

πρέμνῳ — τοῦ ἥπατος] *Cipo videlicet venter: ipsi* vero stipiti jecur assimilatur, ramisque ac *flagellis* venae ab *alvi* vena desciſſae, quae ex hepatis gibbo orta educitur. Valla. Priora prorsus aliena sunt. Supra enim ventrem cum terra comparavit. Ceterum loco αὐτὸ, legit αὐτῷ et κοιλίας loco κοίλης. ἀκρέμοσι vero reddidit *flagellis*, quae Servius ad Georg. Virgil. 2, 299. interpretatur, *summae arborum partes*.

τῆς κοίλης φλεβὸς] τῆς κοιλίας φλεβός. D. 1. τῆς ἄλλης φλεβός. A. 3. Cono: Quae a κοιλῇ (Sic.) succiduntur, quae germinascit a κυρτοῖς. Mox, *συμπέττει τε*. D. 1. Pro eo ἐκπέσει τὲ αὐτὸν καί.

ἐκ τῶν κυρτῶν] in marg. κιρμῶν. A. 1. ἐκ τῶν κιρτῶν. A. 2. Mox, τὸ δὲ ἧπαρ δεξάμενον. A. 1.

ὁμοιοτάτην δὲ ἔχον] ὁμοιοτάτην ἔχων. A. 2. ὁμοιωτάτην δὲ ἔχον. D. 1. Mox, διά τε τῆς χολῆς καὶ τοῦ σπληνός. M. 1.

καὶ τῆς χοληδόχου] καὶ τοῦ χοληδόχου. D. 1.

τὸ τρυγῶδες] terrestre et feculentum. Vall.

ἕλκοντος] διέλκοντος. A. 2. Mox, τῆς δὲ χοληδόχου. D. 1. Choleram vero suscipit vesica et acre. Con.

τὸ ὀῤῥῶδες μετὰ τοῦ] τὸ ὀρῶδες μετὰ τοῦ περιττοῦ λεγομένου δριμέως εἰς καθαρόν. D. 1. ὀρῶδες habet etiam A. 1. τουρῶδες, loco τὸ ὀῤῥῶδες. M. 1. οὐρῶδες. A. 2. Non male. Per renes enim urina excernitur. Ὀῤῥῶδες est

sero-

χρηστὸν τὸ αἷμα γενόμενον, εἰς τροφὴν διανέμεσθαι τοῖς ἄλλοις πᾶσι μορίοις τοῦ σώματος διὰ τῶν κατασπειρομένων εἰς αὐτὰ φλεβῶν· καὶ οὕτως ἕκαστον τῶν μορίων ἕλκον τὸ αἷμα καὶ κατέχον καὶ μεταβάλλον εἰς τὴν ἰδίαν φύσιν, τὸ περιττὸν παραπέμπει τοῖς γειτνιῶσι μορίοις τροφὴν ἐπιτήδειον ἐκείνοις γενόμενον. καὶ τοῦτον τὸν τρόπον πάντα τὰ μόρια ἐξ αἵματος τρέφεται καὶ αὔξει καὶ διαμένει, χορη-
112 γοῦντος αὐτὸ τοῦ ἥπατος. λέγεται δὲ τοῦτο τὸ μέρος τοῦ ἀλόγου μὴ πείθεσθαι λόγῳ, ἐπειδήπερ οὐ κατὰ γνώμην ἡμῶν, οὐδὲ κατὰ προαίρεσιν, ἀλλὰ φυσικῶς τὸ ἴδιον ἔργον ἀποτελεῖ.

ΚΕΦ. ΚΔ.

ΠΕΡΙ ΣΦΥΓΜΩΝ.

Ἡ δὲ σφυγμικὴ κίνησις καλεῖται μὲν καὶ ζωτικὴ δύναμις.

VAR. LECT. ET ANIMADV.

ſeroſum, quod infra occurrit p. 113. οὐρῶδες eſt *urinale*. Cono habet, *ſeroſum*. Valla: *acervatum*. Ac ſi legerit σωρῶδες. A vocabulis μετὰ τοῦ περιλειπ. ſcripſit manus recentior in margine, in textu enim deleta ſunt. A. 2.

αἷμα γενόμενον] αἷμα γινόμενον. M. 1. A. 3. Mox: ἄλλοις ἅπασι. A. 3.

τροφὴν ἐπιτήδειον] τροφὴν ἐπιτηδείαν. D. 1. et mox, γινόμενον. D. 1. A. 3. Cono: *futurum* i. e. γενησόμενον. Ita et Vall. Paullo poſt αὔξεται, loco αὔξει. M. 1.

αὐτὸ τοῦ ἥπατος] αὐτοῖς, loco αὐτό. D. 1. *Illum*, id eſt, ſanguinem. Con. *ipſum*. Vall.

λέγεται δὲ] λέγων δέ. A. 3.

ἐπειδήπερ] ἐπείπερ. D. 1. A. 3.

Cap. 24. Index: περὶ σφυγμοῦ in principio libri. A. 3. περὶ σφυγμῶν. κγ. A. 1. D. 1. Sic, ſed a man. rec. et κδ. A. 2. Loco κεφ. eſt λόγος. M. 1. De pulſibus. cap. 23. Vall. Cono incipit libri 4. cap. 16. de motu pulſatili, qui eſt cordis. Et propter hoc caput, et propter ſuperiora conferri poſſunt ſcholia ad Syneſ. T. I. p. 99.

ἡ δὲ σφυγμικὴ] Οὐδὲ (voluit: ὁ δὲ) σφυγμὸς ἢ μᾶλλον ἡ σφυγμική. A. 3.

ἔχουσα δὲ τὴν καρδίαν ἀρχὴν, καὶ μάλιστα τὴν ἀριστερὰν αὐτῆς κοιλίαν, τὴν πνευματικὴν καλουμένην, τὴν ἔμφυτον καὶ ζωτικὴν θερμότητα διανέμει παντὶ μορίῳ τοῦ σώματος διὰ τῶν ἀρτηριῶν, καθάπερ τὸ ἧπαρ διὰ τῶν φλεβῶν τὴν τροφήν. θερμαινομένης γοῦν τῆς καρδίας (παρὰ φύσιν,) εὐθέως καὶ τὸ ζῶον ὅλον (παρὰ φύσιν) θερμαίνεται, καὶ ψυχομένης ψύχεται. τὸ γὰρ ζωτικὸν πνεῦμα παρ' αὐτῆς διὰ τῶν ἀρτηριῶν εἰς πᾶν τὸ σῶμα κατασπείρεται. συγκατασχίζεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀλλήλοις τὰ τρία ταῦτα, φλὲψ, ἀρτηρία, νεῦρον, ἐκ τῶν τριῶν ἀρχῶν τῶν διοικουσῶν τὸ ζῶον· ἐξ ἐγκεφάλου μὲν ἀρχῆς ὄντος κινήσεώς τε καὶ αἰσθήσεως, τὸ νεῦρον· ἐξ ἥπατος δὲ ἀρχῆς ὄντος αἵματός τε καὶ τοῦ θρεπτικοῦ, ἡ φλὲψ, τὸ ἀγγεῖον τοῦ αἵματος· ἐκ δὲ τῆς καρδίας ἀρχῆς οὔσης τοῦ ζωτικοῦ, ἡ ἀρτηρία, τὸ ἀγγεῖον τοῦ πνεύματος· συνόντα δὲ ἀλλήλοις τὰς παρ' ἀλλήλων ὠφελείας καρποῦνται. ἡ μὲν γὰρ φλὲψ

VAR. LECT. ET ANIMADV.

ἔχουσα δὲ τὴν καρδίαν] ἔχει, loco ἔχουσα. D. 1.

καὶ μάλιστα] καὶ abeſt. A. 1. 2.

τὴν ἀριστερὰν αὐτῆς κοιλίαν] De hoc vide Pollucem II, 4. p. 258. qui et propter alia hujus et ſuperiorum capitum conſuli poteſt.

διανέμει παντὶ] διανέμουσα παντί. D. 1. Mox idem ἧπαρ et ex correct. rec. ἧπαρ.

τὴν τροφὴν] addit: ἤτοι τὸ αἷμα. D. 1. Quae eſt explicatio. Sanguis enim pro alimento eſt.

τῆς καρδίας παρὰ φύσιν] παρὰ φύσιν abſunt. A. 1. 2. Vall. Paullo ante δὲ, loco γοῦν. M. 1. et: ζῶον ὅλον. A. 3. Παρὰ φύσιν et hic et paullo poſt malim omittere. Neo enim nunc de eo exponit, quod παρὰ φύσιν, ſed quod κατὰ φύσιν eſt. Utroque tamen loco Cono ſervat, *praeter naturam.*

τὸ ὅλον ζῶον] τὸ ζῶον ὅλον. D. 1. A. 1. 2. Continuo παρὰ φύσιν abeſt. A. 2. Mox, ψυχωμένης. D. 1.

παρ' αὐτῆς διὰ τῶν] παρὰ ταύτης διὰ τῶν. D. 1. A. 3.

κινήσεώς τε] τε abeſt. A. 3. Mox idem poſt αἵματος etiam omittit τε.

τὸ ἀγγεῖον] A. 1. ſcribit ἀγκεῖον.

ἡ ἀρτηρία τὸ ἀγγεῖον τοῦ] abſunt. A. 2.

τροφὴν χορηγεῖ τῷ νεύρῳ καὶ τῇ ἀρτηρίᾳ· ἡ δὲ ἀρτηρία μεταδίδωσι τῇ φλεβὶ θερμασίας φυσικῆς καὶ πνεύματος ζωτικοῦ. τὸ δὲ νεῦρον αἴσθησιν παρέχει αὐταῖς τε καὶ τῷ παντὶ σώ-
113 ματι. ὅθεν οὔτε ἀρτηρίαν ἐστὶν εὑρεῖν χωρὶς αἵματος λεπτοῦ, οὔτε φλέβα χωρὶς πνεύματος ἀτμώδους, οὔτε νεῦρον χωρὶς αἰσθήσεως· διαστέλλεται δὲ σφοδρῶς καὶ συστέλλεται ἡ ἀρτηρία καθ' ἁρμονίαν τινὰ καὶ λόγον, τὴν ἀρχὴν ἔχουσα τῆς κινήσεως ἐκ τῆς καρδίας· ἀλλὰ διαστελλομένη μὲν, ἐκ τῶν παρακειμένων φλεβῶν ἕλκει τῇ βίᾳ τὸ λεπτὸν αἷμα· ὅπερ ἀναθυμιώμενον τροφὴ γίνεται τῷ ζωτικῷ πνεύματι· συστελλομένη δὲ τὸ αἰθαλῶδες τὸ ἐν αὐτῇ κενοῖ διὰ παντὸς τοῦ σώματος καὶ τῶν ἀδήλων πόρων, ὡς διὰ τοῦ στόματος καὶ τῆς ῥινὸς ἡ καρδία τὸ λιγνυῶδες ἐν ταῖς ἐκπνοαῖς ἀνωθεῖται.

VAR. LECT. ET ANIMADV.

φλὲψ τροφὴν] φλὲψ τὴν τροφήν. Sed τὴν linea transverſa et punctis notatum. D 1. Ante φλὲψ deeſt γάρ. M. 1.

δίδωσι τῇ φλεβὶ] μεταδίδωσι τῇ φλεβί. D. 1. Ox. A. 1. 3. M. 1. ἐπιδίδωσι τῇ φλ. A. 2.

ζωτικοῦ. ὅθεν] poſt ζωτικοῦ addit: τὸ δὲ νεῦρον αἴσθησιν παρέχει αὐταῖς τε καὶ τῷ παντὶ σώματι. ὅθεν. D. 1. Non agnoſcunt Con. Vall. nec editor Oxonienſis. Mox, ἀρτηρία ἐστίν. A. 3.

λεπτοῦ οὔτε φλέβα κ. τ. λ.] λεπτοῦ, οὔτε πνεύματος ἀτμώδους χωρὶς φλέβα. διαστέλλεται. A. 1. 2.

ἀτμώδους] addit: οὔτε νεῦρον χωρὶς αἰσθήσεως. D. 1. Haec non agnoſcunt Con. Vall.

καθ' ἁρμονίαν] κατὰ ἁρμονίαν. A. 2. 3. κατὰ ἁρμονίαν, omiſſo mox τινά. D. 1.

διὰ παντὸς τοῦ σώματος] στόματος, loco σώματος. D. 1. Et ante, τῇ κενῇ, loco κενοῖ διὰ παντός. A. 3.

τὸ λιγνυῶδες] τὸ ληγνυῶδες. D. 1. Mox, ἐν ταῖς πνοαῖς ἀνωθεῖται. D. 1. ἐν ταῖς ἐκπνοαῖς ἐξωθεῖται. Ox. ἐν ταῖς ἐκπνοαῖς ἐνωθεῖται. A. 1. 2.

Κ Ε Φ. ΚΕ.

ΠΕΡΙ ΤΟΥ ΓΕΝΝΗΤΙΚΟΥ Η ΣΠΕΡΜΑΤΙΚΟΥ.

Καὶ τὸ γεννητικὸν δὲ τοῦ μέρους ἐστὶ τοῦ μὴ κατηκόου λόγῳ· ἀβουλήτως γὰρ ἐν ταῖς ὀνειρώξεσι προΐεμεν τὴν γονὴν, καὶ ἡ ἐπιθυμία δὲ τῆς συνουσίας φυσική. ἄκοντες γὰρ ἐπ' αὐτὴν κινούμεθα. ἡ δὲ πρᾶξις ὁμολογουμένως ἐφ' ἡμῖν καὶ ψυχική. καὶ γὰρ διὰ τῶν καθ' ὁρμὴν ὀργάνων συντελεῖται, καὶ ἀποσχέσθαι καὶ κρατῆσαι τῆς ὁρμῆς ἐφ' ἡμῖν ἐστιν. ὄργανα δὲ τῆς σπερματικῆς δυνάμεως πρῶτον μὲν αἱ φλέβες καὶ αἱ ἀρτηρίαι. ἐν ταύταις γὰρ τὸ θορῶδες πρῶτον ὑγρὸν

VAR. LECT. ET ANIMADV.

Cap. 25. Index: περὶ τοῦ γεννητικοῦ ἢ σπερματικοῦ. κε. A. 3. Sic, ſed κδ. D. 1. A. 1. Sic, ſed λόγος, loco κεφ. M. 1. De generativo ſive ſeminario. cap. 23. Vall. Cono incipit libri 4. cap. 17. De vi generativa.

ὀνειρώξεσι] ὀνειρόξεσι. D. 1.

ψυχική] opponitur τῷ φυσικῇ. Ab animo pendet, a noſtra voluntate pendet. Infra p. 115. ψυχικὸν appellat τὸ κατὰ προαίρεσιν, idque opponit τῷ φυσικῷ καὶ ζωτικῷ.

διὰ τῶν καθ' ὁρμὴν ὀργάνων] Cono: per organorum motum.

καὶ ἀποσχέσθαι κ. τ. λ.] καὶ ἀποσχέσθαι καὶ κρατῆσαι τῆς ὁρμῆς. D. 1. A. 1. 2. 3. Con. Vall. κρατῆσθαι, loco κρατῆσαι. M. 1.

πρῶτα αἱ φλέβες] πρῶτον μὲν αἱ φλέβες καὶ ἀρτηρίαι. A. 3. D. 1. Sic, ſed ſervato αἱ, ante ἀρτηρ. A. 1. 2. πρῶτον habet etiam M 1.

ἐν ταύταις γὰρ τὸ θορῶδες] γὰρ abeſt. A. 1. 2. ὀρῶδες ex corr. rec., antea ὀρ. loco θορῶδες. D. 1. Sic et mox. A. 3. conſtanter exhibet θορρῶδες. Θορῶδες eſt ex θορὸς, *ſemen genitale*, quod etiam θορὴ dicitur. Herodot III, 101. ubi θορὴ et γονὴ idem eſt. Plutarch. Sympoſ. T. II. p. 637. E. πολλῶν ἐγχέλεων ἁλισκομένων, οὐδεὶς ἑώρακεν οὔτε θορὸν, οὔτε ᾠὸν ἔγχελυν ἔχουσαν. Rufus Epheſius pag. 33. ut ſynonyma notat, σπέρμα, θορὴ, γόνος. Euſtath. ad Il. p. 242. θορὸς explicat ζωτικὸν σπέρμα. Ὀῤῥῶδες vero, ſeu ὀρῶδες, correctum puto, ut notius. Ita Plutarch. de placitis philoſoph. IV, 24. habet: ὁ σπερματικὸς

τίκτεται, μεταβληθέντος τοῦ αἵματος, καθάπερ ἐν τοῖς
τιτθοῖς τὸ γάλα. τροφὴ γὰρ τῶν ἀγγείων τούτων ἐστὶν
ὁ χυμὸς οὗτος. καὶ γὰρ τὴν ἀρχὴν ἐκ σπέρματος ἡ γένεσις
αὐτοῖς ἐστιν. ἐκπέσσουσι μὲν οὖν αἱ ἀρτηρίαι καὶ αἱ φλέ-
βες τὸ αἷμα εἰς τὸ θορῶδες ὑγρὸν, ἵνα τρέφωνται· τὸ δὲ
114 περιττεῦον τῆς τροφῆς αὐτῶν γίνεται γονή. ἀναφέρεται γὰρ
πρῶτον μὲν διὰ περιόδου πολλῆς εἰς τὴν κεφαλήν· πάλιν δὲ
ἀπὸ τῆς κεφαλῆς καταφέρεται διὰ δύο φλεβῶν καὶ δύο
ἀρτηριῶν. ὅθεν, ἐάν τις ἐκτέμῃ τὰς φλέβας τὰς παρὰ τὰ

VAR. LECT. ET ANIMADV.

κὸς κρίνεται (id est, ἐκκρίνεται) ὀῤῥός. Sic ὀῤῥῶδες esset *serosum*, quod et de lacte dicitur, cujus Nemesius mox meminit. Cono reddidit, *germinabile*. Valla: *prosiliens*. Videtur ergo derivasse a θορεῖν. Saltem ergo lectionem θορῶδες firmat.

ἐν ταῖς τίτθοις] ἐν τιτθοῖς. A. 1. 2. ἐν τοῖς τιθοῖς. D. 1. τίτθοις. A. 3.

τὸ γάλα] intellige τίκτεται. Si enim referatur ad μεταβληθέντος, requiritur τοῦ γάλακτος.

τῶν ἀγγείων — ὁ χυμὸς οὗτος. — ἐκ σπέρματος] ἀγγεῖα intelligo φλέβας καὶ ἀρτηρίας· χυμὸν accipio *de sanguine*. Ergo loco ἐκ σπέρματος conjecerim, ἐξ αἵματος.

ἐκπέσσουσι μὲν οὖν αἱ ἀρτηρίαι καὶ αἱ φλέβες] ἐκπέσουσι μὲν αἱ ἀρτ. καὶ φλέβες. D. 1. ἐκπέμπουσι. A. 3. ἐκπέσουσαι habet M. 1. Mox idem εἰς, ante τὸ, omittit. οὖν omittit A. 2. αἱ, ante φλέβες, omittunt A. 1. 2. Haec Cono ita: Siquidem cum arteriae et venae sanguinem ad germinabile humidum, ut *nutriatur*, *emittunt*. Legit ergo τρέφηται et retulit ad θορῶδες ὑγρὸν, non ad ἀγγεῖα. Praeterea loco ἐκπέσσουσι videtur legisse ἐκπέμπουσιν, aut, ἐκπιέζουσιν. Valla habet, *excoquunt*, deinde θορῶδες hoc loco reddidit *fervens*, non, ut antea, *prosiliens*. Sed τρέφωνται servat.

θορῶδες] ὀρῶδες. D. 1. Mox περιττὸν, loco περιττεῦον. A. 3.

αὐτῶν γίνεται γονὴ] αὐτῆς, loco αὐτῶν. A. 3.

ὅθεν ἐὰν — ἄγονον ποιεῖ τὸ ζῶον] Cono haec primo reddit omnia, omissis tamen, καὶ τὰς παρωτίδας. Sed continuo subjicit: Similiter autem venas, quae sunt circa *coracidas* (Sic.) venas, incidens, animal facit sterilescere. Ab his, omissis proximis, statim transit ad: Ἀριστοτέλης μὲν οὖν.

ὦτα καὶ τὰς παρὰ τὰς καρωτίδας, ἄγονον ποιεῖ τὸ ζῶον. αὗται δὲ αἱ φλέβες καὶ ἀρτηρίαι γίνονται τὸ ἑλικοειδὲς καὶ κιρσοειδὲς πλέγμα παρὰ τὸν ὄσχεον, ἔνθα τὸ θορῶδες ὑγρὸν ἐμπίπτει εἰς ἑκάτερον τῶν διδύμων· (μία ἀρτηρία καὶ μία φλὲψ, πλήρεις σπέρματος·) ἐν τούτοις δὲ τελέως ἀποσπερ-

VAR. LECT. ET ANIMADV.

τὰς περὶ τὰ ὦτα καὶ τὰς περὶ τὰς παρωτίδας] τὰς παρὰ τὰ ὦτα καὶ τὰς παρακαρυωτίδας. Sic. D. I. τὰς παρὰ τὰ ὦτα καὶ τὰς περὶ τὰς παρακαρωτίδας. A. 3. Bis in his παρὰ, loco περὶ, habent A. I. 2. Scriba Cod. D. I. ex duobus vocabulis unum fecit. Haud dubie legendum, καὶ τὰς παρὰ τὰς καρωτίδας. Παρωτὶς eſt genus abſceſſus prope aures: καρωτίδες ſunt arteriae per collum fuſae. Rufus Epheſius p. 32. καρωτίδας δὲ τὰς διὰ τοῦ τραχήλου κοίλας (φλέβας) ὠνόμαζον πάλαι. Valla ita: quae (venaę) ſecundum auriculas ſunt *et ſecundum carotidas*. Videtur ergo legiſſe: καὶ τὰς παρὰ τὰς καρωτίδας.

τὸ ζῶον] τὸν ἄνθρωπον καὶ πᾶν ζώων γένος. M. I.

ἑλικοειδὲς] ἑλκοειδές. D. I. Sic, omiſſo paullo ante γίνονται. A. 3. Mox D. I. τὸν ὄσχεον. Correxi ἑλικοειδὲς, uti alibi legitur. Ceterum alii ſcribunt ὁ ὀσχεός, alii ὄσχεος, de quo vide ad Pollucem II, 4. p. 237. Galenus in gloſſis Hippocrat. p. 88. ὀσχέῳ, ſed de feminis loquens, explicat: τῇ περὶ τὸ στόμα τῆς μήτρας ἑλικοειδεῖ ἐπαναστάσει.

ἔνθα τὸ θορῶδες] τὸ abeſt. A. I. ὀρῶδες. Sic, loco θορῶδες. D. I. Valla rurſus: *fervens*, ac ſi legerit πυρῶδες.

μία ἀρτηρία καὶ μία φλὲψ πλήρης σπέρματος] Pluribus rationibus motus de his vocabulis dubito, quae explicationis cauſſa paullo inſerius ab aliquo adſcripta puto margini, ubi ἀρτηρία et φλεβὸς legitur, deinde vero temere translata in contextum perpetuum. Primo enim ἐν τούτοις, quod continuo additur, ſine ullo dubio refertur ad διδύμους. Nam ad ἀρτηρία et φλὲψ reſpicere nequit, tum, quia ita poſtulatur ταύταις, tum, quia ex mente Nemeſii nec vena, nec arteria σπέρμα καθαρὸν καὶ τέλειον continet, ſed id demum ἐν τοῖς διδύμοις perficitur. Ergo primo haec ſunt ἀσύντακτα et contraria ſententiae. Secundo mirum videtur, cur unius venae et unius arteriae hic facta ſit mentio, cum paullo ante duae memoratae ſint. Quod enim mox ἀρτηρία et φλεβὸς ſingulari numero occurrit, id hanc dubitationem

non

ματοῦται, καὶ διὰ τοῦ κιρσοειδοῦς παραστάτου τοῦ μετὰ τοὺς διδύμους ἐκκρίνεται μετὰ πνεύματος, διότι καὶ ἀρτηρία ἐστὶν ἡ παραπέμπουσα. ὅτι δὲ καὶ ἀπὸ Φλεβὸς Φέρεται, δῆλόν ἐστιν ἐκ τῆς λαγνείας. ὅταν γὰρ ἐπὶ πολὺ συνουσιάσωσι καὶ καταναλώσωσι τὸν σπερματικὸν καὶ θορώδη χυμὸν, τότε ὑπὸ τῆς βιαίας ὁλκῆς αἷμα καθαρὸν ἐκκρίνουσι. καὶ αἱ γυναῖκες δὲ πάντα τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι

VAR. LECT. ET ANIMADV.

non tollit. Singulari enim numero pro duali seu plurali usus est, nec, ut hoc loco, addidit μία. Tertio et hic et alibi apud Nemesium et omnino apud veteres venae tribuitur αἷμα, arteriae πνεῦμα, neutri vero σπέρμα καθαρὸν καὶ τέλειον. Credo ergo haec tollenda esse. Interim ergo inclusi. Verum haec vocabula, paullo inferius vocabulis ἀρτηρία et Φλεβὸς explicandi caussa adscripta, inepta sunt. Scribendum enim erat μία ἑκάστη ἀρτηρία πλήρης πνεύματος καὶ μία ἑκάστη Φλὲψ πλήρης αἵματος. Ceterum haec vocabula non solum in Codicibus, a me examinatis, h. l. occurrunt, verum etiam in versione Vallae.

πλήρης σπέρματος] πλήρεις σπέρματος. D. 1. A. 1. 2. Semine plenae. Vall.

τελείως] τελέως. D. 1. A. 1. 2. Mox κυρσοειδοῦς. A. 2. Stephanus in Lexico medico p. 543. ex Rufo Ephesio p. 29. quatuor ἀγγεῖα σπερματικὰ memorat, duo κιρσοειδῆ, totidemque ἀδενοειδῆ, quae et γόνιμοι Φλέβες et ab aliis omnino παραστάται dicantur. Ἀποσπερματοῦται, id est, *fit semen.* Sic dicitur ἀπολιθόω et alia. Aliud est, ἀποσπερμαίνειν, misso semine procreare. Euseb. Demonstr. Evang. p. 778. D. et ἀποσπερματίζειν, semen emittere. Aristot. de generat. anim. I, 20.

παραστάτου τοῦ μετὰ] τοῦ abest. D. 1. A. 1. 2.

ἡ πέμπουσα] ἡ παραπέμπουσα. D. 1. Mox idem, καταναλώσουσι. Pro πέμπουσα malim compositum, ut παραπέμπουσα, quod habet D. 1.

καὶ ἀπὸ Φλεβὸς] Hic rursus incipit textus a manu prima. A. 2. Mox, λαγνίας. A. 2.

θορώδη χυμὸν] ὀρώδη χυμόν. A. 2. ὀρόδη cum spiritu leni et aspero. D. 1. Rursus, *ferventem humorem.* Vall. Mox, τότε ὑπὸ τῆς βιαίας. D. 1. A. 1. 2. 3. Deinde ἐκκένουσι (Sic) loco ἐκκρίνουσι. M. 1. et paullo post τέκνου, loco τέκνων. Idem.

μόρια, ἀλλ᾽ ἔνδον καὶ οὐκ ἔξω. Ἀριστοτέλης μὲν οὖν καὶ Δημόκριτος οὐδὲν βούλονται συντελεῖν τὸ τῆς γυναικὸς σπέρμα πρὸς γένεσιν τέκνων. τὸ γὰρ προϊέμενον ἐκ τῶν γυναικῶν ἱδρῶτα τοῦ μορίου μᾶλλον ἢ γονὴν εἶναι βούλονται· Γαληνὸς δὲ, καταγινώσκων Ἀριστοτέλους, λέγει σπερμαίνειν μὲν τὰς γυναῖκας καὶ τὴν μίξιν ἀμφοτέρων τῶν σπερμάτων ποιεῖν τὸ κύημα· διὸ καὶ τὴν συνουσίαν μίξιν λέγεσθαι· οὐ μὴν τελείαν γονὴν, ὡς τὴν τοῦ ἀνδρὸς, ἀλλ᾽ ἔτι ἄπεπτον καὶ ὑγροτέραν. τοιαύτη δὲ οὖσα τῆς γυναικὸς ἡ γονὴ, τροφὴ γίνεται τῆς τοῦ ἀνδρός. ἐξ αὐτῆς δὲ καὶ μέρος τι τοῦ χορίου,

VAR. LECT. ET ANIMADV.

ἱδρῶτα τοῦ] ἀνδροτάτου. Sic. D. 1. De Democrito et Ariſtotele vide Plutarch. de placit. philoſoph. V, 5. Sed is potius Zenoni et Ariſtoteli hanc ſententiam tribuit. Adde Ariſtot. de gener. animal. I, 20.

εἶναι βούλονται] βούλονται εἶναι. A. 1.

καταγινώσκων ἀριστοτέλης] καταγ. ἀριστοτέλους. D 1. A. 1. 2. 3. καταγ. ἀριστοτέλει. M. 1. καταγ. ἀριστοτέλη. Ox. Ἀριστοτέλους conjecerat etiam Ant. in erratis. Iſta prorſus omittit Con. Poſt τελείαν γονὴν iterum intellige σπερμαίνειν τὰς γυναῖκας. Cono et Valla interponunt, *eſſe*. Ac ſi legerint τελείαν εἶναι τὴν γονήν.

κύημα] *undam*. Valla. Ac ſi κῦμα aut νᾶμα legerit.

διὸ καὶ τὴν — λέγεσθαι] omittit Con.

ὡς τὴν τοῦ ἀνδρὸς] τὴν τοῦ abeſt. M. 1.

τῆς γυναικὸς ἡ] ἡ γυναικός. M. 1.

τῆς τοῦ ἀνδρὸς] τῇ τοῦ ἀνδρός. A. 1. 3. quod eodem redit.

μέρος τι τοῦ χωρίου τοῦ περὶ] μέρος τι τοῦ χορίου τὰ περί. D. 1. μέρος τι τοῦ χωρίου τὰ περὶ τῆς κεραίας. A. 1. μέρος τοῦ χωρίου τὰ περὶ τάς. A. 2. τὰ, loco τοῦ, habet etiam A. 3. Χόριον Latini *ſecundas* appellant. Eſt autem involucrum embryonis. Vide Celſum VII, 29. ſub finem. Galenus in Def. med. dictum putat ἤτοι ἐπειδὴ χώρημά ἐστι τοῦ ἐμβρύου, οἱονεὶ χωρίον, ἢ ἐπειδὴ χορηγεῖ τὴν τροφὴν αὐτῷ. Hinc intelligitur, cur ω. in nonnullis libris obtineat. Stoici per hoc nutriri embryonem affirmarunt. vid. Plutarch. de placitis philoſ. V, 16. Vide etiam ſcholia ad Theocrit. Id. IX, 19. Pollucem II. p. 260. Scribitur etiam χορίον. Ὁ ἀλλαντοειδὴς, nimirum ὑμὴν, eſt involucrum membranaceum farciminis formam habens. Praeterea etiam ἀμνίον memo-

τοῦ περὶ τὰς κεραίας τῆς μήτρας συμπήγνυται, καὶ ὁ καλούμενος ἀλαντοειδὴς, δοχεῖον ὢν τῶν περιττωμάτων τοῦ ἐμβρύου. καθ' ἕκαστον δὲ γένος ζώου τότε προσίεται ἡ θήλεια τὸν ἄῤῥενα, ὅταν δύνηται κυΐσκεσθαι. τὰ τοίνυν ἀεὶ δυνάμενα κυΐσκεσθαι ἀεὶ προσίεται τὴν συνουσίαν, ὡς ἀλεκτορίδες καὶ περιστεραὶ καὶ ἄνθρωποι. ἀλλὰ τὰ μὲν ἄλλα κύοντα, τὴν σύνοδον ἀποφεύγει· γυνὴ δὲ ἀεὶ προσδέχεται. αἱ γὰρ ἀλεκτορίδες, τῷ καθ' ἑκάστην σχεδὸν ἡμέραν τίκτειν, καθ' ἑκάστην σχεδὸν προσίενται τὴν συνουσίαν· αἱ δὲ γυναῖκες, ὡς ἐν τοῖς ἄλλοις τὸ αὐτεξούσιον ἔχουσιν, οὕτω καὶ ἐν τῇ συνουσίᾳ τῇ μετὰ τὴν σύλληψιν. τὰ γὰρ ἄλογα τῶν ζώων οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' ὑπὸ τῆς φύσεως κανονίζεται, καὶ μέτρα καὶ καιρὸν ὡρισμένον δέχεται.

VAR. LECT. ET ANIMADV.

moratur a Phyſicis et Medicis. Vide Pollucem II. pag. 260. Cono Graece exhibet τῆς καιραίας et ἀλαντοείδης. Valla exprimit, τοῦ περὶ τὰς κεραίας. Idem habet, *allantoides*.

ἀλαντοειδὴς] ἀλλαντοειδής. A. 1. Ox. Mox δοχίον ὄν. A. 2. δοχεῖον ὄν. A. 3.

περιττωμένων] περιττωμάτων. D. 1. Ox. περιττευμάτων. A. 1.

ἡ θήλεια] ἡ θηλεία. D. 1. Mox, τῷ ἀνδρὶ, loco τὸν ἄῤῥενα. M. 1. Paullo poſt, προσίενται. A. 3.

ὡς ἀλεκτορίδες ad προσίεται τὴν συνουσίαν] abſunt. Vall.

καὶ ἄνθρωποι] καὶ ἄνθρωπος. D. 1. A. 3. Con.

γυνὴ δὲ ἀεὶ προσδέχεται] ἀεὶ abeſt. A. 2. Totum hoc omittit Con. Ipſe malim haec omittere, quod mox eſt de mulieribus, αἱ δὲ γυναῖκες. Sed ita mox legendum: αἱ δὲ (loco γάρ.) ἀλεκτορίδες.

τῷ καθ' ἑκάστην ἡμέραν σχεδὸν] τὸ καθ' ἑκάστην σχεδὸν ἡμέραν. D. 1. Sic, ſed τῷ. A. 1. 2. 3. Mox, τίκτειν, καὶ καθ'. A. 3.

σχεδὸν προσίενται] σχεδὸν abeſt. A. 2. D. 1. Sed hic προσίενται habet in ſcripto ſolum ν. a manu tamen prima.

τὰ γὰρ ἄλογα] τὰ γὰρ ἄλλα. A. 3. Mox idem, καὶ μέτρον.

ὑπὸ τῆς φύσεως κανονίζεται] ἀπὸ, loco ὑπό. A. 1. κανονίζονται, loco κανονίζεται. D. 1. Paullo ante ἄλλα, loco ἄλογα, habet Con.

ΚΕΦ. Κϛʹ.

ΑΛΛΗ ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΔΙΟΙΚΟΥΣΩΝ ΔΥΝΑΜΕΩΝ ΤΟ ΖΩΟΝ.

Διαιροῦσι δὲ καὶ ἄλλως τὰς κατὰ τὸ ζῶον δυνάμεις. καὶ τὰς μὲν λέγουσι ψυχικὰς, τὰς δὲ φυσικὰς, τὰς δὲ ζωτικάς. ψυχικὰς μὲν, τὰς κατὰ προαίρεσιν· φυσικὰς δὲ καὶ ζωτικὰς, τὰς ἀπροαιρέτους. καὶ εἰσὶ ψυχικαὶ μὲν, δύω, ἥ,τε καθ' ὁρμὴν κίνησις καὶ ἡ αἴσθησις. τῆς δὲ καθ' ὁρμὴν κινήσεως εἴδη τρία, τό, τε μεταβατικὸν καὶ κινητικὸν τοῦ σώματος παντὸς καὶ τὸ φωνητικὸν καὶ τὸ ἀναπνευστικόν. ἐν ἡμῖν γὰρ ταῦτα καὶ ποιεῖν καὶ μὴ ποιεῖν. φυσικαὶ δὲ 116
καὶ ζωτικαὶ, αἱ οὐκ ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἑκόντων καὶ ἀκόντων γινόμεναι, ὡς ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ σπερματικὴ,

VAR. LECT. ET ANIMADV.

Cap. 26. Index idem A. 3. Idem, ſed caput κε. D. 1. A. 1. Index a prima manu, ſed caput κϛ. a ſecunda. A. 2. Loco Κεφ. eſt Λόγος. M. 1. Alia diviſio potentiarum animantem *proſequentium*. cap. 25. Valla. Cono incipit libri 4. cap. 18. De vi motiva ſecundum locum.

καὶ τὰς μὲν λέγουσι] λέγουσι abeſt. A. 1. Refert haec Jo. p. 181. A. ubi φυτικὸς, loco φυσικός.

φυσικὰς, τὰς δὲ] φυσικὰς καὶ τάςδε. Ox.

ζωτικάς· καὶ ψυχικὰς μὲν] ζωτικάς φασι. ψυχικὰς μέν. A. 1. καὶ, ante ψυχικὰς, omittit etiam A. 2. 3. D. 1. τὰς δὲ ζωτικὰς abeſt. M. 1.

δύω] δύο. D. 1. Ox.

καὶ αἴσθησις] καὶ ἡ αἴσθησις. D. 1. A. 1. 2. 3. Mox, εἴδη τρία, τό,τε μεταβ. D. 1. Τρία abeſt. Con. Vall.

καὶ φωνητικὸν καὶ ἀναπν.] καὶ τὸ φωνητ. καὶ τὸ ἀναπν. D. 1. Dubitare aliquis poſſit, cur αἴσθησιν, φωνὴν et ἀναπνοὴν ad ψυχικὰ καὶ προαιρετικὰ retulerit. Sed mox pag. 117. αἴσθησιν et φωνὴν refert ad ψυχικὰ et προαιρετικὰ, item ἀναπνοὴν p. 118. ac diſerte p. 119. ὅθεν τινὲς, οὐ συνιέντες, φυσικὴν ἐνόμισαν εἶναι τὴν ἀναπνοήν. Vide etiam Jo. l. l. Cono τὸ φωνητικὸν reddidit, *vitalis*. Sed Valla: *vocalitas*.

ζωτικαὶ αἱ οὐκ] αἱ abeſt. D. 1. Mox, ἀλλὰ ἑκόντων. A. 3.

αὐξητικὴ καὶ σπερματικὴ] σπερματικὴ καὶ αὐξητική. Ox. A. 3.

φυσικαὶ οὖσαι· καὶ ἡ σφυγμικὴ, ζωτικὴ οὖσα. τὰ δὲ ὄργανα τῶν μὲν ἄλλων ἔμπροσθεν εἴρηται· τῆς δὲ κατὰ προαίρεσιν κινήσεως, νῦν ἐροῦμεν.

ΚΕΦ. ΚΖ'.

ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ΟΡΜΗΝ Η ΚΑΤΑ ΠΡΟΑΙΡΕΣΙΝ ΚΙΝΗΣΕΩΣ, ΗΤΙΣ ΕΣΤΙ ΤΟΥ ΟΡΕΚΤΙΚΟΥ.

Ἔστιν οὖν τῆς κατὰ προαίρεσιν ἢ καθ' ὁρμὴν κινήσεως ἀρχὴ μὲν, ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος μυελὸς, ἐγκεφάλου μέρος ὢν καὶ αὐτός· ὄργανα δὲ, τὰ ἐκ τούτων πεφυκότα νεῦρα καὶ οἱ σύνδεσμοι καὶ οἱ μύες. οἱ δὲ μύες συνεστήκασιν ἔκ τε σαρκῶν καὶ νευρωδῶν ἰνῶν καὶ τενόντων, συμπεπλεγμένων ταῖς τῶν νεύρων ἴσιν. ὅθεν τινὲς ᾠήθησαν

VAR. LECT. ET ANIMADV.

τῶν μὲν ἄλλων] τῶν ἄλλων μέν. A. 2. Intellige δυνάμεων.

τῆς δὲ κατὰ προαίρεσιν κινήσεως] Intellige, τὰ ὄργανα. A. 3. τῶν — κινήσεων, loco τῆς — κινήσεως.

Cap. 27. Index idem, ſed in principio libri ἢ κατὰ, ante hoc caput autem καὶ κατά. A. 3. Idem ſed caput κϛ. A. 1. Sic, ſed κατὰ, ante προαίρεσιν, omittit D. 1. Index, qui in edito, a prima manu, a ſecunda autem κζ. A. 2. Loco κεφ. eſt λόγος. M. 1. De motu per impulſum et aſſenſionem, qui eſt appetitivus. cap. 26. Vall.

ἔστιν οὖν τῆς κατὰ] ἔστι μὲν οὖν τῆς κατά. A. 2. Mox abeſt μυελός. M. 1.

οἱ μῦες. οἱ δὲ μύες] Bis μύες. Mox vitioſe νευρωδῶν. D. 1. ἔκ τε omittit A. 3. Paullo poſt idem: τενόντων καὶ συμπεπλεγμένων. Prius οἱ μύες Cono reddidit, *membrana*, ac ſi fortaſſe legerit ὑμὴν, aut ὑμένες.

ταῖς τῶν νεύρων ἴσιν] ἴνεσιν, loco ἴσιν. D. 1. M. 1. A. 3. ἱμέσιν. Sic. A. 2. Dicitur ἴς et ἴν, ἰνὸς, ἰνὶ, ἰσί. Suidas: ἶνες· νεῦρα, καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν, ἰσί. Nihilo minus tamen credo etiam reperiſſe ἴνεσι. Si recte memini, apud Chryſoſtomum. Cono reddidit, *anulis*. Valla pro priori ἰνῶν habet, *inibus:* hoc vero loco reddidit: qui ex nerveis *complicationibus ſtabiliuntur*. Cum alibi

αὐτοὺς αἰσθητικοὺς εἶναι, διὰ τὴν γινομένην ἐκ τῶν συμπεπλεγμένων αὐτοῖς νεύρων αἴσθησιν. ἔστιν οὖν ὁ τένων σύνθετος ἔκ τε συνδέσμου καὶ νεύρων λεπτῶν. διαφέρει δὲ νεύρου τένων, ὅτι πᾶν μὲν νεῦρον αἰσθητικόν ἐστι καὶ στρογγύλον καὶ ἁπαλώτερον καὶ ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἔχει· ὁ δὲ τένων καὶ σκληρότερος καὶ ἐξ ὀστέου καὶ ἀναίσθητος καθ' ἑαυτὸν, καὶ ἔσθ' ὅτε πλατύς. εἰσὶ δὲ αἱ μὲν χεῖρες ἀντιληπτικὸν ὄργανον καὶ πρὸς τὰς τέχνας ἐπιτηδειότατον. ἐὰν γάρ τις ἀφέλῃ τὰς χεῖρας, ἢ τῶν χειρῶν μόνους τοὺς δακτύλους, εἰς πάσας σχεδὸν τὰς τέχνας ἀχρηστότατον ποιεῖ τὸν ἄνθρωπον. διὸ καὶ μόνος ἄνθρωπος,
ἐπειδὴ λογικός ἐστι καὶ τεχνῶν δεκτικὸς, χεῖρας ἔσχε παρὰ 117
τοῦ δημιουργοῦ. οἱ δὲ πόδες μεταβατικὸν ὄργανον. τὴν γὰρ κατὰ τόπον κίνησιν διὰ τούτων ποιούμεθα. μόνος δὲ ἄνθρωπος καθέζεται, μηδενὸς ἐρείσματος δεόμενος. μόνος γὰρ πρὸς δύο γωνίας ὀρθὰς κάμπτει τὰ σκέλη, κατά τε τὸ ἰσχίον καὶ τὴν ἰγνύν· τὴν μὲν ἐπὶ τὰ ἔνδον, τὴν δὲ ἐπὶ τὰ

VAR. LECT. ET ANIMADV.

alibi πήγνυμι reddiderit *stabilio*, conjici possit, illum legisse, συμπεπηγότων ἐκ νευρωδῶν συνδέσμων. De his vid. Aristot. hist. animal. III, 6.

ᾠήθησαν] ἐνήθησαν. A. 3. Idem mox: εἶναι αἰσθητικά, et, γενομένην. Forte voluit, ἐνενοήθησαν.

διαφέρει δὲ νεύρου] διαφέρει δὲ τοῦ νεύρου. A. 1. Mox, στρογγῦλον. D. 1.

καὶ ἔσθ' ὅτε πλατὺς] ἔσθ' ὅτε καὶ πλατύς. A. 2. πρὸς πλάτος, loco πλατύς. M. 1.

ἐὰν γάρ τις ἀφέλῃ] ἐὰν γὰρ ἀφέληται. A. 3.

ἢ μόνους τοὺς δακτύλους τῶν χειρῶν] ἢ τῶν χειρῶν μόνους τοὺς δακτύλους. A. 1. 2. 3. Sic, sed μόνον, et iterum in marg. a man. rec. Ὀρφεύς· χειρῶν ολλυμένων ἔρρεεν πολύεργος ἀθήνη. Mox Cono omittit, καὶ τεχνῶν δεκτικός.

μόνος δὲ ἄνθρωπος] ὁ, post δὲ, addit A. 1. 3. γὰρ, loco δέ. M. 1.

μηδενὸς ἐρείσματος δεόμενος] accubitu indigens. Con. Mox: πρὸς γὰρ δύο γωνίας μόνος. A. 3.

κάμπτει — ἐπὶ τὰ ἔξω] in robore coxendices inflectit, poplitem alterum intrinsecus, forinsecus alterum tenendo. Vall.

καὶ τὴν ἰγνῦν] loco καὶ τὴν est spatium vacuum; exhibet autem ἰγνύν. A. 1. καὶ τὴν ἰγνύν. A. 2.

ἔξω. ὅσα τοίνυν διὰ νεύρων καὶ μυῶν κινεῖται, ταῦτα πάντα ψυχικά τε ἐστὶ καὶ κατὰ προαίρεσιν ἀποτελεῖται. τούτων δὲ καὶ τὰς αἰσθήσεις καὶ τὴν φωνὴν ἐδείξαμεν εἶναι. αὕτη μὲν οὖν ἐστιν ἡ κατὰ λόγον τῶν τε ψυχικῶν καὶ φυσικῶν ἔργων διάγνωσις. ὁ δὲ δημιουργὸς κατὰ τὴν ἄκραν ἑαυτοῦ προμήθειαν συνέπλεξε τοῖς φυσικοῖς τὰ ψυχικὰ, καὶ ἀνάπαλιν. ἐπειδὴ γὰρ ἡ ἔκκρισις τῶν περιττωμάτων τῆς ἀποκριτικῆς ἐστι δυνάμεως, ἥτις μία τῶν φυσικῶν ἐστι δυνάμεων, ἵνα μὴ ἀπροαιρέτως ἀσχημονῶμεν, ἔνθα οὐ δεῖ, καὶ ὅτε οὐ δεῖ, καὶ ἐφ' ὧν οὐ δεῖ προϊέμενοι, πυλωρούς τινας ἐπέστησε ταῖς ἐκκρίσεσι τοὺς μῦς, καὶ οὕτως ἐποίησε τὰ τῆς φύσεως ἔργα ψυχικά. τὰς γοῦν ἐκκρίσεις ἐπέχειν διὰ τοῦτο δυνάμεθα, καὶ πολλάκις, καὶ ἐπὶ πολύ. καταπέμπεται δὲ τὰ μὲν αἰσθητικὰ καὶ μαλακὰ νεῦρα ἀπό τε τῆς μέσης καὶ τῶν ἔμπροσθεν κοιλιῶν τοῦ ἐγκεφάλου· τὰ δὲ σκληρότερα καὶ κινητικὰ, ἀπὸ τῆς ὄπισθεν κοιλίας καὶ τοῦ νωτιαίου μυελοῦ· σκληρότερα δὲ μᾶλλόν ἐστι τὰ ἐκ τοῦ

VAR. LECT. ET ANIMADV.

ταῦτα πάντα ψυχικὰ] πάντα ταῦτα ψυχικά. A. 1.

κατὰ προαίρεσιν ἀποτελεῖται] his a man. rec. in marg. tanquam verba textus addita ſunt, πλὴν τῆς ἀναπνοῆς. D. 1. Cono haec reddidit, *et electione praedita.*

τούτων δὲ καὶ] καὶ abeſt. D. 1. Paullo poſt: συνέπλεξε τοῖς ψυχικοῖς τὰ φυσικά. A. 3.

περιττωμάτων] περιττομένων. Sic. M. 1. Supra pag. 115. init. ſimilis eſt varietas. Proximam, ante hanc, periodum Ellebodius ex parte duplici modo reddidit. Oxonienſis ergo editor poſt *probabilis* omiſit *eſt*, quod locum non habet. Forte tamen Ellebodius voluit *et.*

ἐστι δυνάμεων] δυνάμεών ἐστιν. A. 2. ἐστὶ, poſt μία habet A. 3. Ab ἥτις ad δυνάμεων abeſt. Con. Mox, οὐ δεῖ omittit A. 3.

ἔνθα οὐ δεῖ — προϊέμενοι] ubi honeſtate opus eſt et ubi non decet, emittamus. Con.

διὰ τούτου δυνάμεθα] διὰ τοῦτο δυνάμεθα. A. 2. 3. D. 1. M. 1. Aut διὰ τοῦτο, aut διὰ τούτων, id eſt, μυῶν, legendum. Cono: per hos. Valla: ob hoc. Mox, ἐμπροσθίων κοιλιῶν. A. 3.

καὶ κινητικὰ] ἢ κινητά. M. 1.

νωτιαίου, καὶ τούτων δὲ ἔτι μᾶλλον, τὰ ἐκ τῶν κάτωθεν μερῶν τοῦ νωτιαίου. ὅσῳ γὰρ πλέον ἀποχωρεῖ τοῦ ἐγκεφάλου ὁ νωτιαῖος, τοσούτῳ πλέον αὐτός τε σκληρότερος 118
γίνεται, καὶ τὰ νεῦρα τὰ ἐξ αὐτοῦ φυόμενα. ὥσπερ δὲ τὰς αἰσθήσεις διπλᾶς ἐλάβομεν· οὕτω καὶ τὰς ἐκφύσεις τῶν νεύρων διπλᾶς ἔχομεν. ἕκαστος γὰρ σφόνδυλος τοῦ νωτιαίου συζυγίαν ἐκπέμπει νεύρων, ἧς τὸ μὲν ἐπὶ τὰ δεξιὰ μέρη τοῦ σώματος χωρεῖ, θάτερον δὲ ἐπὶ τὰ ἀριστερά. σχεδὸν γὰρ ὅλον ἡμῶν τὸ σῶμα εἰς δύο μεμέρισται, εἰς δεξιὰ καὶ ἀριστερά. οὕτω καὶ πόδες καὶ χεῖρες καὶ τῶν ἄλλων ἕκαστον, ὡς καὶ τῶν αἰσθητηρίων.

ΚΕΦ. ΚΗ.

ΠΕΡΙ ΑΝΑΠΝΟΗΣ.

Καὶ ἡ ἀναπνοὴ δὲ τῶν ψυχικῶν ἐστιν ἔργων. καὶ γὰρ μύες εἰσιν οἱ διαστέλλοντες τὸν θώρακα, τὸ κυριώτατον

VAR. LECT. ET ANIMADV.

καὶ τούτων δὲ ἔτι — νωτιαίου] absunt. Vall. Mox ὅσον γὰρ, loco ὅσῳ γὰρ. A. 3.

τοσούτῳ πλέον] τοσοῦτο πλέον. A. 2. 3. Mox ἐκφύσεις reddidit, *naturas*. Vall. φύσεις etiam exhibet M. 1.

σφόνδυλος] Sic, credo, antea; nunc a rec. σπόνδ. D. 1. σπόνδυλος. M. 1. A. 3. *Spondilus*. Con. *Vertebra*. Vall. Mox vitiose νοτιαίου. D. 1.

ἕτερον δὲ ἐπὶ τὰ ἀριστερὰ] θάτερον, loco ἕτερον. A. 2. 3. D. 1. Sic, sed omisso τά. Ox. εἰς, loco ἐπί. M. 1.

εἰς δεξιὰ καὶ ἀριστερὰ] εἰς, ante ἀριστερά, addit A. 2. Mox, καὶ, ante πόδες, omittit Ox. In fine capitis αἰσθήσεων, loco αἰσθητηρίων. M. 1.

Cap. 28. Index idem A. 3. Idem, sed caput κζ. A. 1. D. 1. Sic a recent. Sed κη. A. 2. Loco κεφ. est λόγος. M. 1. De respiratione. cap. 27. Vall. Cono incipit libri 4. cap. 19. De vi respirativa.

ψυχικῶν ἐστιν ἔργον] ψυχ. ἐστὶν ἔργων. A. 2. Ita videntur legisse Ellebodius et Valla. Id mihi etiam probatur. Mox, μύες. D. 1.

τῆς ἀναπνοῆς ὄργανον, καὶ ἡ ἀθρόα καὶ στεναγμώδης ἀναπνοὴ, ἐπὶ ταῖς μεγάλαις λύπαις γινομένη, ψυχικὴν δείκνυσι τὴν ἐνέργειαν· ἐφ᾽ ἡμῖν δὲ καὶ αἱ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς μεταβολαί. ἀλγοῦντες γάρ τι τῶν ἀναπνευστικῶν μορίων, ἢ τῶν συγκινουμένων αὐτοῖς, οἷον τοῦ διαφράγματος, ἢ τοῦ ἥπατος, ἢ τοῦ σπληνὸς, ἢ τῆς κοιλίας καὶ τῶν λεπτῶν ἐντέρων καὶ τοῦ κώλου, μικρὸν καὶ πυκνὸν ἀναπνέομεν· μικρὸν μὲν, ἵνα μὴ σφοδρότερον πλήττωμεν τὸ ἀλγοῦν μόριον· πυκνὸν δὲ, ἵνα τὸ λεῖψαν κατὰ τὸ μέγεθος ἡ πυκνότης ἀναπληρώσῃ. καὶ γὰρ ὅταν ἀλγῶμεν τὸ σκέλος, ἐπ᾽ ὀλίγον ἐκτείνομεν αὐτὸ βαδίζοντες. διὰ τὴν αὐτὴν αἰτίαν, δι᾽ ἣν καὶ τὴν ἀναπνοήν. ὥσπερ οὖν καὶ τὸ βαδίζειν ψυ-

VAR. LECT. ET ANIMADV.

τῆς ἀναπνοῆς ὄργανον] ὄργανον τῆς ἀναπνοῆς. A. 3. Mox idem: ἀθρόα δὲ καὶ ἀναστεναγμώδης ἀναπνοὴ ἐν ταῖς.

γινομένη] γενομένη. A. 2.

ἐφ᾽ ἡμῖν δὲ καὶ — μεταβολαὶ] Sed et intra nos reſpirandi neceſſitatem mutatione *interſcindimus*. Vall. Mox, ἀλγοῦντες γὰρ (τι ſupra ſcriptum a rec.) τῇ τῶν, et in marg. credo, συνοχῇ, quod refertur ad τῇ. A. 2. τινῶν, loco τι τῶν. M. 1. Probo vulgatum. Ἀλγεῖν τι uſitatiſſimum. Mox eſt, ἀλγεῖν τὸ σκέλος.

συγκινουμένων] συγκειμένων. D. 1. *Adhaerens quicquam.* Vall. Eadem varietas eſt infra p. 120. Vulgatum utroque loco praeferendum.

ἢ τοῦ σπληνὸς] τοῦ abeſt. D. 1. A. 1. 2. 3. Mox: μικρὸν μὲν καὶ πυκνὸν ἀναπνέομεν· πυκνὸν μὲν. A. 3.

ἐντέρων καὶ τοῦ κώλου] ἐντέρων ἢ τοῦ κώλου. A. 2 κόλου, loco κώλου. D. 1. λεπτέρων μορίων ἢ, loco λεπτῶν ἐντέρων καί. M. 1. De κῶλον et κόλον vide Pollucem II. p. 255. ibique notas. Mox, ἀναπνέομεν. καὶ μικρὸν μέν. D. 1.

ἀλγοῦν μόριον] ἀλγοῦν μέρος. A. 3.

λεῖψαν] λείψανον, ſed ον punctis notatum et correctum ει a recent. D. 1. *Quod deficit.* Con. *Relictum.* Vall.

ἀλγῶμεν τὸ σκέλος] τὸ σκέλος μικρόν. A. 3. Idem mox, ἐκτείνωμεν.

ἐπ᾽ ὀλίγον κ. τ. λ.] ἐπ᾽ omittit A. 2. ἐπ᾽ αὐτὸ ἐκεῖνο ἐρείδομεν (Sic.) ἑαυτοὺς βαδίζοντες. D. 1. Mox, καὶ τὰ τῆς ἀναπνοῆς. A. 3.

χικὸν, οὕτω καὶ τὸ τῆς ἀναπνοῆς. ἀλλ' ἡσυχάζοντες μὲν 119
καὶ μὴ βαδίζοντες ἐπὶ πλεῖστον χρόνον ζῆν δυνάμεθα· τὴν δὲ ἀναπνοὴν οὐδὲ δέκατον ὥρας μέρος ἐπισχεῖν οἷόν τε. καταπνιγόμενον γὰρ τὸ ἐν ἡμῖν θερμὸν ἐκ τῆς αἰθάλης κατασβέννυται, καὶ παραχρῆμα θάνατον ἐπάγει. καὶ γὰρ εἰ φλόγα τις σκεπάσει ἐν ἀγγείῳ τινὶ διαπνοὴν οὐκ ἔχοντι, ἀποσβέσειν ἂν αὐτὴν καταπνιγεῖσαν ἀπὸ τῆς λιγνύος. διὰ ταύτην οὖν τὴν ἀνάγκην καὶ κοιμωμένων ἡμῶν οὐδὲν ἧττον ἐνεργεῖ κατὰ τοῦτο τὸ μέρος ἡ ψυχὴ, εἰδυῖα, ὡς, εἰ τὸ βραχύτατον ῥαθυμήσειε, διαφθείρεται τὸ ζῶον. πάλιν οὖν ἐνταῦθα τὸ ψυχικὸν συνεπλάκη τῷ φυσικῷ. δι' ἀρτηρίας γὰρ ποιεῖται τὴν ἐνέργειαν τῆς ἀναπνοῆς, ὀργάνου φυσικοῦ καὶ ἀεὶ κινουμένου, ἵνα μηδέποτε ἐπιλίπῃ τὸ ἔργον αὐτῆς, ὡς οὐδὲ τῶν ἄλλων ἀρτηριῶν. ὅθεν τινὲς, οὐ συνιέντες, φυσικὴν ἐνόμισαν εἶναι τὴν ἀναπνοήν. τρία δὲ τῆς ἀναπνοῆς ἐστιν αἴτια, χρεία, δύναμις, ὄργανα. χρεία μὲν διττὴ,

VAR. LECT. ET ANIMADV.

ὥρας μέρος] μέρος ὥρας. A. 3. μέρος abeſt. D. 1. Ejus loco eſt μικρόν. M. 1.

καταπνιγόμενον] καταπνίγονον. Sic. Et in marg. καταπνιγέν. M. 1.

αἰθαίης] αἰθάλης. D. 1. A. 1. 2. 3. M. 1. Ox. Mox conjici poſſit σκεπάσειεν ἐν, aut, σκεπάσῃ ἐν. Sed vulgatum quoque ferri poteſt.

ἀπὸ τῆς λιγνύος] ὑπὸ, loco ἀπό. D. 1. Ox. A. 3. Mox idem: διὰ ταύτην οὖν τὴν αἰτίαν ἢ τὴν ἀνάγκην.

τὸ ψυχικὸν συνεπλάκη τῷ φυσικῷ] τῷ ψυχικῷ συνεπλάκει (Sic.) τὸ φυσικόν. D. 1. τῷ φυσικῷ συνεπλάκη τὸ ψυχικόν. A. 1. τῷ ψυχικῷ συνεπλάκη τὸ φυσικόν. A. 2. 3. Naturali animale conjunctum eſt. Vall. Supra p. 117. de re eadem dixit: ὁ δημιουργὸς συνέπλεξε τοῖς φυσικοῖς τὰ ψυχικά. Mox deeſt proximum γάρ. A. 2.

φυσικοῦ καὶ ἀεὶ] καὶ abeſt. A. 2. 3.

ἐπιλίπῃ] ἐπιλείπῃ. D. 1. A. 3. Deficiat. Con. Mox, ὡς οὐδὲν τῶν ἄλλων. M. 1.

συνιέντες] jota raſura deletum. D. 1. Mox deeſt εἶναι. M. 1. Et, χρεῖα et ex corr. rec. εἰ. D. 1. Loco ὅθεν, Valla videtur legiſſe, ὅ.

χρεία μὲν διττὴ] χρείαν μὲν διττή. D. 1. Mox loco θρέψις, Valla reddidit, *delectatio*, i. e. τέρψις.

φυλακή τε τῆς ἐμφύτου θερμασίας, καὶ θρέψις τοῦ ψυχικοῦ πνεύματος. ἀλλ᾽ ἡ μὲν φυλακὴ τῆς κατὰ φύσιν θερμότητος διά τε τῆς εἰςπνοῆς καὶ τῆς ἐκπνοῆς συνίσταται· τῆς μὲν εἰςπνοῆς ψυχούσης καὶ μετρίως ἀναῤῥιπιζούσης τὸ θερμόν· τῆς δὲ ἐκπνοῆς τὸ λιγνυῶδες τῆς καρδίας ἐκχεούσης. ἡ δὲ θρέψις τοῦ ψυχικοῦ πνεύματος διὰ μόνης τῆς ἀναπνοῆς. ἕλκεται γάρ τις ἀέρος μοῖρα κατὰ τὰς διαστολὰς τῆς καρδίας, εἰς αὐτήν. δύναμις δὲ, ἡ ψυχική. αὕτη γάρ ἐστιν ἡ κινοῦσα τὰ ὄργανα τῆς ἀναπνοῆς διὰ τῶν μυῶν, καὶ πρῶτον τὸν θώρακα. τούτῳ δὲ συγκινεῖται ὁ πνεύμων καὶ αἱ τραχεῖαι ἀρτηρίαι, μέρος οὖσαι τοῦ πνεύμονος. τῆς γὰρ τραχείας ἀρτηρίας τὸ μὲν χονδρῶδες τῆς φωνῆς ἐστιν ὄργανον· οἱ δὲ ὑμενώδεις αὐτῆς δεσμοὶ τῆς ἀναπνοῆς· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, αὐτὴ ἡ ἀρτηρία, φωνητικόν τε ἅμα καὶ ἀναπνευστικὸν ὄργανον. ἔστιν οὖν ὁ πνεύμων, πλέγμα συγκείμενον ἐκ τεσσάρων, ἔκ τε τῆς τραχείας ἀρτηρίας, καὶ τῆς λείας, καὶ φλεβὸς, καὶ τῆς ἀφρώδους σαρκὸς αὐτοῦ τοῦ πνεύμονος, ἥτις σὰρξ ἀναπληροῖ, δίκην στοιβῆς, τὰς

VAR. LECT. ET ANIMADV.

διά τε τῆς εἰςπνοῆς] τῆς abeſt. A. 2. ἀναπνοῆς, loco εἰςπνοῆς. A. 3.

διὰ μόνης τῆς ἀναπνοῆς] repete, συνίσταται. Cono addit, *fit*. Valla, *eſt*.

μοίρα] μοῖρα. D. 1. Mox, κατὰ τῆς διαστολῆς. A. 2.

δύναμις δὲ ἡ ψυχικὴ] δυνάμει δὲ ψυχικῇ. A. 1. δύναμις δὲ ἡ ψυχῇ. Sed a rec. δυνάμει δὲ ψυχικῇ. A. 2. Valla: Aëris enim pars quaedam per cordis diductiones ad ipſum *cor* attrahitur *animali potentia*. Vulgatum bene habet. Paullo ante τρία αἴτια ἀναπνοῆς notaverat, χρείαν, δύναμιν, ὄργανα. De χρείᾳ hactenus dixit. Nunc incipit de δυνάμει. Ergo δύναμις δὲ refertur ad ſuperius χρεία μέν. Ceterum recte etiam retinetur ψυχική. Nec enim ipſa ψυχὴ eſt δύναμις. Ex ψυχικὴ vero mox in vocabulo αὕτη intelligitur ἡ ψυχή.

συγκινεῖται] σύγκειται. D. 1.

τὰ δὲ ἐξ] τὸ δὲ ἐξ. D. 1. A. 1. M. 1. Con.

αὕτη ἡ ἀρτηρία] αὐτὴ ἡ ἀρτηρία. D. 1. A. 1.

ἐκ τεσσάρων] ἐκ δύο. A. 3.

καὶ φλεβὸς] καὶ τῆς φλεβός. A. 2. καὶ abeſt. A. 3.

μεταξὺ χώρας τοῦ πλέγματος, τῶν τε δύο ἀρτηριῶν καὶ τῆς φλεβὸς, ὥςτε τούτων ἕδραν αὐτὴν καὶ δεσμὸν γενέσθαι. συμπέσσει δὲ ἡ σὰρξ τοῦ πνεύμονος φυσικῶς τὸ πνεῦμα, καθάπερ τὸ ἧπαρ τὸν ἐκ τῆς κοιλίας χυμόν· καὶ διὰ τοῦτο, ὥςπερ τὸ ἧπαρ ἄκροις τοῖς λοβοῖς ἑαυτοῦ περιέχει τὴν γαστέρα, θερμασίας δεομένην· οὕτω καὶ ὁ πνεύμων μέσην περιλαμβάνει τὴν καρδίαν, δεομένην τῆς ἐκ τῆς ἀναπνοῆς περιψύξεως. συνάπτεται δὲ τῇ τραχείᾳ ἀρτηρίᾳ κατὰ τὸ συν-

VAR. LECT. ET ANIMADV.

τοῦ πλέγματος] antea τοῦ πνεύματος aut πνεύμονος. Sed a prima manu, ut videtur, correctum. D. 1. Loco στοιβὴ fcribitur etiam στοίβη apud Galenum in Gloffis et apud Hefych. Eft autem genus herbae, qua utuntur ad plectendos corbes. Hoc loco reddi poteft vinculum feu firmamentum, id eft, σύνδεσμος, feu, ut mox habet, δεσμὸς et ἕδρα, id eft, ἑδραίωμα, στήριγμα. Inde eft στοιβὰς et στοιβάζειν, pro quo dicitur etiam στιβὰς et στιβάζειν. Cono reddidit, *ftupae.* Valla totum locum corrupit ita: Quae fane pulpa *conductionis intercomplicationis* loca binarum arteriarum et venae *moderationem* fupplet. Loco ἀναπληροῖ — στοιβῆς habet, ἀναπληρὴς εἴη — κύβης. M. 1.

τὰς μεταξὺ χώρας τοῦ πλέγματος] Connexiones mediae regionis. Cono. Ergo, τῆς — χώρας τὰ πλέγματα.

ὥςτε τούτων ἕδραν αὐτὴν] ὡς, loco ὥςτε. A. 1. αὐτὴν omittit et ἕδραν exhibet fpiritu leni. D. 1. Mox idem συμπέσει, loco συμπέσσει, ac deinde bis ἧπαρ et ex correct. ἧπαρ. M. 1. bis ante ἧπαρ omittit τό. Αὐτὴν, poft ἕδραν, abeft etiam in A. 3. *Concoquit.* Con. Vall. Idem fupra dictum p. 111.

λοβοῖς ἑαυτοῦ περιέχει] λωβοῖς ου . . . τοῦ περιέχει. Sic. A. 1. λοβοῖς αὐτοῦ περιέχει. A. 2. λαβοῖς (fed a prima manu corr. λω.) αὐτοῦ (addito a rec. ἑ. id eft, ἑαυτοῦ) περιέχει. Sed a primo punctis notatum erat ε. ut effet περιχεῖ, fecundus vero iterum inferuit ε. D. 1. Summis fuis *fibris* — continet. Cono. Valla legit per ω. Ergo ridicule reddidit: profligationibus et perditionibus.

περιλαμβάνει] παραλαμβάνει. M. 1.

τῆς ἐκ τῆς ἀναπνοῆς] τὴν, loco prioris τῆς. D. 1. Mox καταψύξεως. A. 3.

εχὲς ὁ βρόγχος, συγκείμενος ἐκ μεγάλων τριῶν χόνδρων·
τούτῳ δὲ ὁ φάρυξ· εἶτα τὸ στόμα καὶ ἡ ῥίς. δι᾽ ἀμφοτέρων
γὰρ ἕλκομεν ἔξωθεν τὸν ἀέρα· χωρεῖ δὲ ἐντεῦθεν διὰ τοῦ
ἠθμοειδοῦς ἢ σπογγοειδοῦς ὀστοῦ, ὅπερ κατετρήθη, ἵνα ἐν
ταῖς ὑπερβολαῖς, ταῖς κατὰ ποιότητα, τοῦ ἀέρος μηδὲν ὁ
ἐγκέφαλος βλάπτηται, ἀθρόου τοῦ πνεύματος ἐμπίπτοντος
εἰς αὐτόν. συνεχρήσατο δὲ καὶ ἐνταῦθα τῇ ῥινὶ πρός τε τὴν
121 ἀναπνοὴν καὶ τὴν ὄσφρησιν ὁ δημιουργὸς, ὡς τῇ γλώττῃ πρός
τε τὴν φωνὴν καὶ τὴν γεῦσιν καὶ τὴν διαμάσησιν. τὰ μὲν οὖν
κυριώτατα μόρια πρός τε τὴν ὕπαρξιν αὐτὴν καὶ πρὸς τὰς

VAR. LECT. ET ANIMADV.

συνάπτεται δὲ — χόνδρων] Cono: Ceterum per asperae arteriae continuitatem branchiis conjungitur ex magnis tribus cartilaginibus.

τριῶν χάνδρων] τριῶν χονδρῶν. A. 2. τριῶν χόντρων, suprascripto δ. a primo. D. 1.

ὁ φάρυξ] ὁ φάρυγξ. A. 1. ἡ φάρυγξ. D. 1. ὁ λάρυγξ. Ox. Intellige, συνάπτεται. τοῦτο δὲ ἡ φάρυγξ. A. 3. Cono addit: *copulatur*.

διὰ τοῦ ἠθμοειδοῦς] διὰ ἠθμοειδοῦς. D. 1. διὰ ἰσθμοειδοῦς. M. 1. A. 3. Idem mox: κατερήθη. Per evaporarium os, quod perforatum est. Cono. Spongiosum et ad decollandum aptum. Vall. Rufus Ephesius pag. 50. ἐν ᾗ (μυκτῆρι) τὸ ἠθμοειδὲς ὀστέον ὑπόκειται, πλείσταις κεχρημένον κατατρήσεσιν. et p. 26. τὰ πυκνὰ ταύτης (τῆς ῥινὸς) τρήματα ἠθμοειδῆ καλεῖται. Ceterum, ut hic, nonnulli habent ἰσθμοειδὴς, ita quoque libri variant apud Pollucem lib II. p. 472. §. 204.

ὑπερβολαῖς] hic addit Cono: tum frigiditatis, tum caliditatis. Valla non habet.

ποιότητα] πιότητα. D. 1.

ἀθρόου τοῦ πνεύματος] πνεύμονος, loco πνεύματος. D. 1.

πρός τε τὴν ἀναπνοὴν] τε abest. D. 1.

ὡς τῇ γλώττῃ] Solum καὶ habet A. 2. Διαμάσησις etiam duobus σ legitur.

τὰ μὲν οὖν] Cono incipit libri 4. cap. 20. Repetit breviter dicta, et adjicit utilitatem cholerae, splenis, renum, adenum, cutis, ossium, unguium atque capillorum.

οὖν κυριότατα] οὖν a man. rec. insertum ante κυριώτατα. D. 1. οὖν καιριώτατα. A. 1. 2. 3. οὖν κυριοτιμότερα.

Sic.

ἀναγκαίας τοῦ βίου χρείας ταῖς ψυχικαῖς συνδιήρηται δυνάμεσιν. εἰ δέ τι καὶ παραλέλειπται, ἐκ τῶν ἤδη λεχθέντων εὐσύνοπτον ἔσται. ὥςπερ δὲ πάντων τῶν γενομένων, τὰ μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ καὶ δι' ἑαυτὰ καὶ δι' ἕτερα, τὰ δὲ, δι' ἕτερα μόνον, τὰ δὲ κατὰ συμβεβηκὸς παρυπέστη· οὕτω κἀπὶ τῶν μορίων τοῦ ζώου τὴν αὐτὴν εὑρήσεις ἀκολουθίαν. τὰ μὲν γὰρ εἰρημένα πάντα τῶν τριῶν ἀρχῶν ὄργανα, τῶν διοικουσῶν τὸ ζῶον, δι' ἑαυτὰ γέγονε. ταῦτα γὰρ προηγουμένως καὶ κατὰ πρῶτον λόγον κατεσκεύασται, ἃ καὶ κατὰ Φύσιν κυρίως λέγεται, καὶ ἐν τῇ μήτρᾳ ἐξ αὐτοῦ τοῦ σπέρματος

VAR. LECT. ET ANIMADV.

Sic. M. 1. καιριότερα in marg. Ant. *Opportuniſſimas.* Vall. Κύριος proprie *primus*, *primarius:* καίριος, *opportunus.* Sed haec duo ſaepe permutantur ac pro eodem dicuntur. Mox: ὕπαρξιν αὐτοῦ καὶ πρός. A. 3.

συνδιήρηται] συνδιήρτηται. D. 1. A. 2. συνετήρηται. M. 1. συνδιήρηται. A. 3. Valla de conditore Deo accepit. Ergo reddidit: *eſſe voluit* (quod non eſt in Graeco) et in vitae neceſſarios uſus animae diſtribuit potentiis. Nemeſius de ſe loquitur. Ergo probo συνδιήρηται. Nam διαιρῆσαι inter alia etiam eſt διελθεῖν, ut Erotianus explicat p. 23. Senſus ergo: de praecipuis partibus corporis et viribus animi ſimul expoſitum eſt. Συνδιήρηται idem, quod συνδιηκρίβωται. Συνδιήρτηται eſt *conjuncta ſunt.*

εἰ δέ τι καὶ παραλέλειπται] καὶ abeſt. A. 1.

τὰ δὲ δι' ἑαυτὰ] τὰ δὲ καὶ δι' ἑαυτά. D. 1. A. 1. 2. Paullo poſt: τὰ δὲ καὶ δι' ἕτερα μόνον. A. 3.

καὶ ἐπὶ τῶν μορίων] κἀπὶ τῶν μορίων. D. 1. A. 2. 3. Sic, omiſſo proximo τοῦ. A. 1. Continuo τῶν ζώων exhibet A. 3.

τῶν τριῶν ἀρχῶν] ἀρχὰς nunc videtur dicere, quas ſupra p. 115. δυνάμεις appellavit, nimirum ψυχικὰς, φυσικὰς et ζωτικάς. Ergo mox memorat ζωτικὴν δύναμιν. Conjici vero etiam poſſit, τῶν τριῶν ἀρχικῶν δυνάμεων. Valla: Quae enim jam dicta trina *principalia membra* animal adminiſtrantia propter ſe facta ſunt.

ἃ καὶ κατὰ Φύσιν] ἀλλὰ κατὰ φύσιν. A. 2.

μήτρᾳ — σπέρματος] μήτρᾳ τὴν ἔκκρισιν, καὶ γίνεται κατὰ ταῦτα τρόπον τινὰ καὶ ἐξ αὐτοῦ τοῦ σπέρματος. M. 1. Idem poſt ὡς omittit καί. Priora iſta paullo inferius leguntur.

λαμβάνει τὴν γένεσιν, ὡς καὶ τὰ ὀστέα. ἡ δὲ ξανθὴ χολὴ καὶ δι' ἑαυτὴν καὶ δι' ἄλλο. καὶ γὰρ καὶ πρὸς πέψιν συντελεῖ καὶ κινεῖ τὴν ἔκκρισιν, καὶ γίνεται κατὰ ταῦτα τρόπον τινὰ τῶν θρεπτικῶν ἕν τι μόριον· οὐ μὴν ἀλλὰ καὶ θερμασίαν τινὰ παρέχει τῷ σώματι, καθάπερ ἡ ζωτικὴ δύναμις. τούτων μὲν οὖν ἕνεκα δι' ἑαυτὴν δοκεῖ γεγονέναι· τῷ δὲ καθαίρειν τὸ αἷμα, δι' ἄλλο πως δοκεῖ γεγονέναι. καὶ ὁ σπλὴν δὲ οὐ μικρὰ πρὸς πέψιν συμβάλλεται. ὀξώδης γὰρ ὢν καὶ στρυφνὸς τὴν φύσιν, καὶ τὴν ἔκκρισιν τοῦ περιττεύοντος χυμοῦ τοῦ μέλανος εἰς τὴν γαστέρα προχέων, στύφει τε αὐτὴν καὶ τονοῖ καὶ πρὸς τὰς πέψεις διεγείρει. πρὸς
122 τούτοις δὲ καὶ καθαίρει τὸ ἧπαρ. διὸ καὶ αὐτὸς δοκεῖ πως διὰ τὸ αἷμα γεγονέναι. καὶ οἱ νεφροὶ δὲ τοῦ τε αἵματος καθάρσιόν εἰσι καὶ τῆς ὀρέξεως τῆς κατὰ τὴν συνουσίαν αἴτιοι. αἱ γὰρ φλέβες, ἃς ἐλέγομεν ἐμπίπτειν εἰς τοὺς

VAR. LECT. ET ANIMADV.

λαμβάνει τὴν γένεσιν] καταλαμβάνει γένεσιν. A. 2.

καὶ γὰρ πρὸς πέψιν] καὶ γὰρ καὶ πρὸς πέψιν. D. 1. Mox, καὶ κινεῖται τὴν. Idem. Mox: ἕν τι μορίων. A. 3.

διὰ τοῦτο πως δοκεῖ] δι' ἄλλο πῶς δοκεῖ. D. 1. Ob aliud aliquo pacto videtur procreata. Vall. Sanguinis cauſa facta eſſe videtur. Con. Sic mox eſt p. 122. περὶ ἥπατος. A. 3. ita: τὸ δὲ καθαίρειν τὸ αἷμα καὶ διὰ τοῦτο δοκεῖ πως.

ὀξώδης] ζοφώδης. Sed rec. man. litterae ο. inſcripſit μ. et in marg. γρ. καὶ σομφώδης καὶ ὀξώδης. D. 1. Σομφώδης et σομφὸς Heſychius et Erotianus p. 44. explicant χαῦνος. Cono reddidit: acidus et ſtypticus. Valla: acidus et natura acerbus.

καὶ τὴν ἔκκρισιν κ. τ. λ.] Valla: egeſtionem circa tenontem humoris nigri in ventrem profundens ſtipat ipſam ac figit.

τῷ δὲ καθαίρειν ad ὁ σπλὴν] abſunt. M. 1.

προχέων] χέων. D. 1.

ἧπαρ] ἥπαρ et a rec. ἧπαρ. D. 1. Mox, δοκεῖ πῶς. Idem.

καθάρσιόν εἰσι] Cum mox legatur αἴτιοι, non αἴτιον, hic conjici poſſit καθάρσιοι. M. 1. habet καθαρόν.

ἃς λέγομεν] ἃς ἐλέγομεν. A. 2. 3. Recte. Reſpicit enim cap. 25. περὶ τοῦ γεννητικοῦ. *Quas dicimus*. Con. Vall.

διδύμους, διὰ τῶν νεφρῶν διεξέρχονται· κἀκεῖθεν ἀρύονται δριμύτητά τινα, τὴν ἐρεθίζουσαν τὴν ὄρεξιν, ὥσπερ καὶ τὸν κνησμὸν ἡ δριμύτης ὑπὸ τὸ δέρμα γενομένη ποιεῖ. ὅσῳ δὲ τῶν διδύμων ἡ σὰρξ ἁπαλωτέρα τοῦ δέρματός ἐστι, τοσούτῳ πλέον ὑπὸ τῆς δριμύτητος δακνόμενοι, ἐμμανῆ ποιοῦσι τῆς ἐκκρίσεως τῆς γονῆς τὴν ἐπιθυμίαν. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα τρόπον τινὰ καὶ δι' ἑαυτὰ καὶ δι' ἄλλα γέγονεν. αἱ δὲ ἀδένες καὶ ἡ σὰρξ δι' ἄλλα μόνον. οἱ μὲν γὰρ ἀδένες ὄχημα καὶ στήριγμα τῶν ἀγγείων εἰσὶν, ἵνα μὴ διαῤῥαγῇ μετέωρα φερόμενα ἐν ταῖς βιαίοις κινήσεσιν. ἡ δὲ σὰρξ σκέπασμα γέγονε τῶν ἄλλων μορίων, ἵνα καὶ θέρους ἀναψύχῃ τὸ ζῶον, νοτίαν ἔσωθεν ἐκπέμπουσα, καὶ χειμῶνος τὴν τῶν πιλητῶν ἐρίων αὐτοῖς παρέχῃ χρείαν. καὶ τὸ δέρμα δὲ σκέπασμα γέγονε καὶ τῆς ἁπαλῆς σαρκὸς καὶ τῶν ἄλλων πάντων τῶν ἐντοσθίων· ἔστι δὲ τὴν φύσιν σὰρξ, ὑπό τε τοῦ περιέχοντος καὶ τῶν προσομιλούντων σωμάτων

VAR. LECT. ET ANIMADV.

ἀρύονται] ἀῤῥύονται. D. 1. Mox τινα abest A. 3. ac paullo post est γινομένη.

τοσούτῳ πλέον] τοσοῦτο πλέον. A. 2.

ἄδενες] ἀδένες hic et mox. D. 1. A. 1. Sed A. 2. vulgatum. Post σὰρξ addit καί. M. 1.

ἀγγείων] Sic. Supra aliquoties exhibuit ἀγκεῖον. D. 1.

μετέωρα φερόμενα] φαινόμενα in marg. Ant. Ita in textu. M. 1. Mox, βιαίαις. A. 2. 3. Μετέωρα φερόμενα absunt. Con.

γέγονε σκέπασμα] σκέπασμα γέγονε. D. 1. A. 1. 2. 3. Mox, ἀναψύχει. D. 1. Mox θέρους abest. Con.

νοτίαν] Sic ex rasura a primo. Antea, ὅτι ἄν. D. 1. Ut *matutinam* excutiat humiditatem. Vall. Suidas: νοτία· ἡ ὑγρασία. Intelligit *sudorem*. In A. 3. est vocabulum usitatius νοτίδα. Addit autem ἔξωθεν, loco ἔσωθεν.

πιλητῶν ἐρίων αὐτοῖς παρέχῃ χρείαν] αὐτοῖς omittit A. 2. πηλιτῶν ἐρίων αὐτοῖς παρέχει χρεῖαν. D. 1. πηλιτῶν habet etiam A. 3. *Nobis*, loco αὐτοῖς. Con.

ἔνδοθεν· ἔστι δὲ] ἐντοσθίων· ἔστι δὲ. D. 1. A. 2. 3. ἔντοσθεν· ἔστι δὲ. A. 1. *Viscerum*. Vall. Mox ἡ, ante σὰρξ, abest. M. 1. A. 1. 2. 3. D. 1. Recte. Sermo enim est περὶ δέρματος, quod dicitur esse, σὰρξ τυλωθεῖσα.

περιέχοντος τῶν] περιέχοντος καὶ τῶν. D. 1. A. 1. 2. 3. Vall.

τυλωθεῖσα. τὰ δὲ ὀστᾶ, στήριγμα τοῦ παντὸς σώματός ἐστι, καὶ μάλιστα ἡ ῥάχις, ἣν καὶ τρόπιν τοῦ ζώου φασὶν εἶναι. οἱ ὄνυχες δὲ, καὶ κοινῇ μὲν πᾶσι τοῖς ἔχουσι παρέχονται χρείαν, τὴν τοῦ κνήθεσθαι, καὶ ἰδίαν δὲ παρὰ ταύ-
123 την ἄλλην ἄλλῳ. πολλοῖς μὲν γὰρ τῶν ζώων ἀμυντήριον ἐδόθησαν, ὡς τοῖς γαμψώνυξι· καὶ εἰσὶν ὥσπερ ὄργανον τοῦ θυμικοῦ, πολλοῖς δὲ ἀμυντήριόν τε ἅμα καὶ στήριγμα τῆς βάσεως, ὡς τοῖς ἵπποις καὶ παντὶ μονώνυχι· καὶ ἀνθρώποις δὲ, οὐ μόνον πρὸς τὸ κνήθεσθαι καὶ διαφορεῖν τὴν δριμύτητα τοῦ δέρματος, ἀλλὰ καὶ πρὸς τὴν τῶν λεπτῶν ἀντίληψιν· τὰ γὰρ πάνυ λεπτὰ δι' αὐτῶν ἐπαίρομεν· καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὄπισθεν ἀντιβαίνοντες, στηρίζουσι τὴν λαβὴν αὐτῶν. αἱ δὲ τρίχες κατὰ συμβεβηκὸς παρ-

VAR. LECT. ET ANIMADV.

Recte hoc quoque. Τὸ περιέχον est aër. M. 1. exhibet: περιέχοντος καὶ τῶν περιεχομένων καὶ τῶν προσομιλούντων. A. 3. addit καὶ, ante τῶν προσομιλ.

παντὸς σώματος] σώματος abest. A. 3.

τρόπην] τρόπον. D. 1. τρόπιν. A. 1. 2. Ox. *Conversionem.* Vall. Plutarch. de placit. philosoph. V, 17. de re simili habet, ὡς τρόπιν νεώς. Quod hic Nemesius aptissime de spina dorsi dixit, id habet Philo p. 842. A. de corde: δοκεῖ τοῦ ὅλου σώματος προπλάττεσθαι ἡ καρδία, θεμελίου τρόπον ἢ ὡς ἐν νηΐ τρόπεως, ἐφ' ἣν οἰκοδομεῖται τὸ ἄλλο σῶμα. Plura synonyma cumulat Chrysost. T. III p. 139. A. ὥσπερ τινα θεμέλιον καὶ τρόπιν ἀσφαλῆ καὶ κρηπῖδα βεβαίαν καὶ ἀκίνητον. Mox, καὶ κοινὴν μὲν, et paullo post, ἄλλην ἄλλοις. A. 2. πᾶσι μὲν κοινῇ. A. 3.

καμψόνυξι] γαμψώνυξι. D. 1. γαμψόνυξι. A. 3. καμψώνυξι. A. 2. γαμψώνυξ habet Sophocles in Oedipo Tyranno p. 199. Diog. Laërt. p. 315. et alii. Pro eodem habet γαμψώνυχος Aristot. H. A. II, 12. VIII, 12. Eustath. ad Hom. p. 1928. non a κάμπτω, sed a γνάμπτω derivat. Καμψίπους tamen est apud Aeschyl. pag. 192.

ἀμυντήριόν τε ἅμα] ἅμα abest. A. 1. Mox, στήριγμα ἅμα τῆς βάσεως. Idem.

μονόνυχι] μονώνυχι. D. 1. A. 1. 3. ω. a man. rec. A. 2. Mox δὲ, post ἀνθρώποις, addunt D. 1. A. 1. 3. Deinde: διαφορεῖν πρὸς τήν. A. 3. Paullo post, καπνοδεστάτων. D. 1.

ὑπέστησεν. τῶν γὰρ ἀτμῶν τῶν καπνωδεστάτων, τῶν ἀναπεμπομένων ἐκ τοῦ σώματος, πῆξίν τινα λαμβανόντων, κατὰ συμβεβηκὸς συνίστανται. οὐδὲ ταύτας δὲ παντάπασιν ἀχρήστους ἐποίησεν ὁ δημιουργός· ἀλλὰ, καίτοι κατὰ συμβεβηκὸς γενομένας, εἰς σκέπην τε καὶ κάλλος συντελεῖν τοῖς ζώοις παρεσκεύασε· σκέπην μὲν, αἰξὶ καὶ προβάτοις, κόσμον δὲ, τοῖς ἀνθρώποις· τισὶ δὲ ζώοις, κόσμον τε ἅμα καὶ σκέπην, ὡς τῷ λεόντι.

ΚΕΦ. ΚΘʹ.

ΠΕΡΙ ΕΚΟΥΣΙΟΥ ΚΑΙ ΑΚΟΥΣΙΟΥ.

Ἐπειδὴ πολλάκις ἐμνημονεύσαμεν ἑκουσίου καὶ ἀκουσίου, ἀνάγκη καὶ περὶ τούτων διαλαβεῖν, ἵνα τῆς ἀκριβοῦς αὐτῶν γνώσεως μὴ διασφαλλώμεθα. δεῖ δὲ τὸν μέλλοντα περὶ

VAR. LECT. ET ANIMADV.

τῶν γὰρ ἀτμῶν] δὲ, loco γάρ. M. 1. Paullo poſt: δὲ πάλιν παντάπασιν. A. 3.

καί τοι κατὰ συμβεβηκὸς] κατὰ abeſt. A. 2.

τισὶ δὲ ζώοις] πᾶσι δὲ ζώοις. A. 1. Hominibus vero, ut cunctis animalibus, ornamentum. ornamentum autem pariter et munimentum, ſicut leoni. Vall. Mox ἅμα omittit A. 2. Deinde, *ut* leonibus. Con.

Cap. 29. Index: περὶ τοῦ ἑκουσίου. κη. D. 1. Index idem, qui in edito. nam κη. prorſus omiſit. Ergo hic habet κθ. A. 1. Index idem a prima manu, a ſecunda κθ. A. 2. Λόγος, loco κεφ. habet M. 1. Plane convenit cum edito A. 3. De ultroneo et invito. cap. 28. Vall. Cono incipit libri 5. cap. 1. De voluntario et involuntario. De definitione actus humani, in quo conſiſtit voluntarium, et indiciis et ſignis voluntarii et involuntarii. De involuntario violento, et an excuſet.

ἐπειδὴ πολλάκις] ἐπειδὴ δὲ πολλάκις. A. 1. Mox, ἀκουσίου καὶ ἑκουσίου. A. 3. et, ἀναγκαῖον καὶ περὶ τούτων. A. 2. Paullo poſt idem, σφαλλώμεθα. Διασφάλλεσθαί τινος eſt etiam apud Aeſchinem oratorem p. 33. 66. et apud Heraclidem Ponticum p. 455. edit. Galei, τοῦ λογισμοῦ διασφάλλονται.

ἀκουσίου καὶ ἑκουσίου λέγειν, πρότερον ἐκθέσθαι κανόνας
τινὰς καὶ γνώμονας, δι' ὧν γνώριμον ἔσται, εἴτε ἑκούσιον,
εἴτε ἀκούσιόν ἐστι τὸ γινόμενον. ἐπεὶ τοίνυν πᾶν ἑκούσιον
124 ἐν πράξει τινί ἐστι, καὶ τὸ νομιζόμενον δὲ ἀκούσιον καὶ αὐτὸ
ἐν πράξει ἐστί· δειχθήσεται τοῦτο μετ' οὐ πολύ· τινὲς δὲ
καὶ τὸ ὄντως ἀκούσιον, οὐ μόνον ἐν τῷ πάσχειν, ἀλλὰ καὶ
ἐν τῷ πράττειν τίθενται· ὁριστέον πρὸ τῶν ἄλλων, τί
ἐστι πρᾶξις. πρᾶξίς ἐστιν ἐνέργεια λογική. ταῖς δὲ πρά-
ξεσιν ἔπαινος ἢ ψόγος ἕπεται· καὶ αἱ μὲν αὐτῶν μεθ' ἡδο-
νῆς, αἱ δὲ μετὰ λύπης πράττονται· καὶ αἱ μέν εἰσιν αἱρε-
ταὶ τῷ πράττοντι, αἱ δὲ φευκταί· καὶ τῶν αἱρετῶν αἱ
μὲν ἀεὶ αἱρεταί, αἱ δὲ κατά τινα χρόνον· ὁμοίως δὲ καὶ
τῶν φευκτῶν. καὶ πάλιν, αἱ μὲν τῶν πράξεων ἐλεοῦνται
καὶ συγγνώμης ἀξιοῦνται, αἱ δὲ μισοῦνται καὶ κολάζονται.
ἔστωσαν οὖν γνώμονες τοῦ μὲν ἑκουσίου, τὸ πάντως ἐπα-

VAR. LECT. ET ANIMADV.

ἀκουσίου καὶ ἑκουσίου] ἑκουσίου καὶ ἀκουσίου. A. 3.

κανόνας τινὰς καὶ γνώμονας] κανόνας ex raſura. antea credo, καὶ μόνας. Et γνώμας, loco γνώμονας. D. 1. *Cognitiones.* Vall. Loco ἐκθέσθαι — γνώμονας habet, ἐκθεᾶσθαι — γνώμας. Inepte! M. 1. Mox p. 124. repetitur γνώμονες.

ἐπεὶ τοίνυν πᾶν] ἐπεὶ τοίνυν ἐστὶ πᾶν. A. 3. v. Jo. pag. 191. B.

τινί ἐστι] τινὶ ἔσται. A. 2. Mox ab καὶ τὸ νομιζόμενον ad πράξει ἐστι omittit A. 3.

δειχθήσεται δὲ] δὲ abeſt. D. 1. A. 1. 2.

ὁριστέον πρὸ] ὁριστέον οὖν πρό. D. 1.

ταῖς δὲ πράξεσιν] δὲ abeſt. A. 2.

αἱρεταὶ τῷ πράττοντι] τῷ πράττοντι abeſt. A. 1. Ab τῷ πράττοντι ad proximum αἱρεταὶ omittit Vall. Mox, αἱ δὲ καὶ φευκταὶ τῷ πράττοντι. καὶ τῶν ἀρετῶν (ſic.) αἱ μέν. A. 1. Inter τῶν et αἱρετῶν aliquid raſura deletum. Forte μέν. D. 1.

αἱ μὲν τῶν πράξεων] τῶν πράξεων αἱ μέν. A. 3.

ἐλεοῦνται καὶ συγγνώμης ἀξιοῦνται] αἱ, loco καί. D. 1. A. 2. ejus loco αἵδε. M. 1. αἱ δέ. A. 3. *Illae autem.* Con. Loco καὶ συγγ. ἀξ. Valla habet: *aliae vero invidiam faciunt.* καὶ συγγ. ἀξ. omittit A. 1. Mox, πάντως ἀκολουθεῖν. D. 1.

κολουθεῖν ἔπαινον ἢ ψόγον, καὶ τὸ μεθ' ἡδονῆς πράττεσθαι, καὶ τὸ αἱρετὰς εἶναι τὰς πράξεις τοῖς πράττουσιν ἢ ἀεὶ, ἢ τότε ὅτε πράττονται. τοῦ δὲ ἀκουσίου γνώμονες, τὸ συγγνώμης ἢ ἐλέους ἀξιοῦσθαι, καὶ τὸ μετὰ λύπης πράττεσθαι, καὶ τὸ μὴ εἶναι αἱρετάς. τούτων οὕτω διορισθέντων, λέγωμεν πρότερον περὶ τοῦ ἀκουσίου.

ΚΕΦ. Λ'.

ΠΕΡΙ ΑΚΟΥΣΙΟΥ.

Τοῦ ἀκουσίου τὸ μὲν, κατὰ βίαν, τὸ δὲ, δι' ἄγνοιάν ἐστι.
τῶν τοίνυν κατὰ βίαν ἀκουσίων ἡ ποιητικὴ ἀρχὴ ἔξωθέν
ἐστι. ἄλλο γάρ τι τῆς βίας αἴτιόν ἐστι καὶ οὐχ ἡμεῖς.
ὅρος τοίνυν τοῦ κατὰ βίαν ἀκουσίου ἐστὶν, οὗ ἡ ἀρχὴ ἔξω-
θεν, μηδὲν συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέν-
τος. ἀρχὴ δὲ εἴρηται ἐνταῦθα, ἡ ποιητικὴ αἰτία. ζητεῖται
δὲ, εἰ καὶ ταῦτα ἀκούσιά ἐστιν, οἷον αἱ ἀποβολαὶ τῶν φορ-
τίων, ἃς ποιοῦνται οἱ ναῦται χειμῶνι περιπεσόντες, ἢ ὅταν 125
τις αἰσχρὸν πρᾶγμα καταδέξηται παθεῖν ἢ πρᾶξαι, ὑπὲρ
τοῦ σῶσαι φίλους ἢ πατρίδα. ἐοίκασι δὲ μᾶλλον εἶναι ἑκού-

VAR. LECT. ET ANIMADV.

ἢ τότε ὅταν] ἢ τότε ὅτε. D. 1. 3. Sic, et mox πράττονται. Jo. l. l. ἢ ὅτε. A. 1. 2. ἢ τότε ὅταν διορίστως πράττωσιν. M. 1. Mox, συγγνώμης ἢ ἐλέους ἀξιοῦσθαι. D. 1. A. 1. 2. Con. γνώμονες καὶ τὸ συγγνώμης ἢ ἐλέους ἀξιοῦσθαι. A. 3.

λέγωμεν πρῶτον περὶ ἀκουσίου] λέγωμεν πρότερον περὶ τοῦ ἀκουσίου. A. 1. Sic, ſed λέγομεν. A. 2. D. 1. λέγομεν πρῶτον περὶ τοῦ ἀκουσίου. A. 3.

Cap. 30. Index idem. A. 1. 3. a man. rec. A. 2. περὶ τοῦ ἀκουσίου. κθ. D. 1. Λόγος, loco κεφ. M. 1. De invito. cap. 29. Vall. Confer Jo. p. 191. D.

τὸ δὲ κατ' ἄγνοιαν] δι', loco κατ'. D. 1. A. 1. 3.

ἄλλο γάρ τι τῆς βίας] τι abeſt. A. 2.

ἔξωθεν μηδὲν] ante μηδὲν raſura ſublatum ἐστι. D. 1. ἔξω, loco ἔξωθεν. A. 3.

καταδέξηται] dignum arbitratur. Con.

μᾶλλον εἶναι ἑκούσιοι] Immo potius ἑκούσια. Quaerebatur enim, εἰ ταῦτα ἀκούσια; Confer Jo. p. 192. C. *Voluhtarii.* Con. *Ultronei.* Vall.

σιοι. διὰ τοῦτο γὰρ πρόσκειται τῷ ὅρῳ, τὸ μηδὲν συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέντος. ἐπὶ γὰρ τοῖς τοιούτοις ἑκόντες αὐτοὶ δι' ἑαυτῶν κινοῦσι τὰ ὀργανικὰ μόρια, καὶ οὕτω ῥίπτουσιν εἰς τὴν θάλασσαν τὰ φορτία. ὁμοίως δὲ καὶ οἱ αἰσχρὸν ἢ δεινόν τι ὑπομένοντες διὰ μεῖζον καλὸν, ὡς Ζήνων, ὁ ἀποφαγὼν ἑαυτοῦ τὴν γλῶτταν καὶ ἀποπτύσας Διονυσίῳ τῷ τυράννῳ, ὑπὲρ τοῦ μηδόλως αὐτῷ ἐξειπεῖν τὰ ἀπόῤῥητα· ὁμοίως δὲ καὶ Ἀνάξαρχος ὁ φιλόσοφος ὑπομείνας πτίσσεσθαι ὑπὸ Νικοκρέοντος τοῦ τυράννου ὑπὲρ τοῦ μὴ προδοῦναι τοὺς φίλους. καθόλου οὖν, ὅταν ἢ

VAR. LECT. ET ANIMADV.

τῷ ὅρῳ τὸ μηδὲν] τοῦ, loco τό. D. 1.
ἐπὶ γὰρ τοῖς τοιούτοις] ἐπὶ γὰρ τούτοις. A. 3. Mox idem θάλατταν τὰ φορτία.
ὁμοίως καὶ οἱ αἰσχρὸν τι κ. τ. λ.] ὁμοίως δὲ καὶ οἱ αἰσχρὸν ἢ δεινόν τι. D. 1. A. 2. Sic, omisso δέ. A. 1.
μεῖζον καλὸν] μείζων (ex corr. ει.) καλόν. Post καλὸν addit: ὡς ζήνων ὁ ἀποφαγὼν ἑαυτοῦ τὴν γλῶτταν καὶ ἀποπτύσας διονυσίῳ τῷ τυράννῳ ὑπὲρ τοῦ μηδόλως αὐτῷ ἐξειπεῖν τὰ ἀπόῤῥητα. ὁμοίως δὲ καὶ ἀνάξαρχος κ. τ. λ. D. 1. Sic etiam ex MSS. edidit, sed ζένων, et, ὑπὲρ τοῦ μηδενὶ αὐτῷ κ. τ. λ. Ox. ὡς ζήνων ὁ ἀποφαγὼν τὴν ἑαυτοῦ γλῶτταν, καὶ ἀποπτύσας διονυσίῳ τῷ τυράννῳ, ὑπὲρ τοῦ μηδενὶ τρόπῳ αὐτοῦ ἐξειπεῖν τὰ ἀπόῤῥητα. ὁμοίως δὲ καὶ ἀνάξαρχος A. 3. Cum D. 1. consentit, sed in fine: ὁμοίως καὶ ἀνάξαρχος. A. 1. Cum D. 1. consentit, sed μηδενὶ τρόπῳ, loco μηδόλως. A. 2. Cum D. 1. consentit etiam M. 1. Sed omittit ὁ, ante ἀποφαγὼν et in fine δὲ, ante καί. Ob majus *malum vitandum*, ut Zeno et reliqua. Con. *Majus honestum*, servata etiam narratione de Zenone. Vall. Zenonis factum memorat Euseb. Praepar. Evang. pag. 504. D. Plutarch. T. II. p. 505. D. p. 1051. C. Diog. Laërt. p. 352. Sed ibi non Dionysius tyrannus appellatur, verum Nearchus aut Diomedon. De Anaxarcho vid. Plutarch. T. II. p. 449. E. Diog. Laërt. p. 364.
πτίσσεσθαι] πτήσεσθαι. A. 3. in rotae modum incurvari. Valla. Ac si legerit τροχίζεσθαι. Hujus exemplum narrat Philo p. 145. B. φασὶ γοῦν ἤδη τινὰς τῶν σοφῶν τροχιζομένους ὑπὲρ τοῦ τὰ ἄῤῥητα μηνῦσαι, γλῶτταν ἀποτραγόντας τὴν ἑαυτῶν κ. τ. λ.
καθόλου οὖν] οὖν abest. A. 2.

διὰ φόβον μειζόνων κακῶν ἕληταί τις τὸ ἔλαττον κακὸν, ἢ δι' ἐλπίδα μείζονος καλοῦ καταδέξηταί τις τὸ ἔλαττον κακὸν, ὃ οὐκ ἔστιν ἄλλως κατορθῶσαι, οὐκ ἀκούσιον ὑπομένει πάθος ἢ πρᾶξιν· ποιεῖ γὰρ κατὰ προαίρεσιν καὶ κατ' ἐκλογὴν, καὶ τότε εἰσὶν αἱρεταὶ, ὅταν πράττωνται, καθ' ἑαυτὰς οὐκ οὖσαι αἱρεταί. εἰσὶν οὖν μικταὶ ἐξ ἀκουσίου καὶ ἑκουσίου· ἀκουσίου μὲν, καθ' ἑαυτὰς, ἑκουσίου δὲ τότε, διὰ περίστασιν. ἄνευ γὰρ περιστάσεως οὐδεὶς ἂν ἕλοιτο ταῦτα πρᾶξαι. δηλοῖ δὲ καὶ ὁ ἐπὶ ταῖς τοιαύταις πράξεσι γενόμενος ἔπαινος ἢ ψόγος, ὅτι ἑκούσιαι εἰσίν. ἀκουσίων

VAR. LECT. ET ANIMADV.

τὸ ἔλαττον κακὸν] τὸ abest. A. 1. 2. Ab ἕληταί τις leguntur a man. rec. in marg. A. 2. In hac formula poni et omitti potest τό.

ἢ δι' ἐλπίδα — ἔλαττον καλὸν] absunt. A. 1. 2. Vall. ἢ δι' ἐλπίδα μείζονος κακοῦ καταδέξηταί τις ἔλαττον κακόν. D. 1. A. 3. καταδέξεται, loco καταδέξηται. Ox. In fine probo κακόν. Sic et M. 1. et Con. Proximum vero ὃ refero ad καλοῦ.

ἄλλως κατορθῶσαι] ς in ἄλλως a man. rec. additum. D. 1. μᾶλλον ἄλλως κατορθ. et mox ἀκουσίου. M. 1.

πρᾶξιν ἢ πάθος] πάθος ἢ πρᾶξιν. A. 1. 2.

καὶ τότε εἰσὶν αἱρεταὶ] μὲν, post εἰσὶ, addit A. 3. post haec a primo legitur: (εἰ καὶ πράττονται καθ' ἑκούσιον, οὐκ οὖσαι αἱρεταὶ,) ὅταν πράττωνται κ. τ. λ. Sed inclusa linea deleta sunt a man. rec. addita hac nota: ἀναγινώσκεται καὶ οὕτως· εἰ καὶ πράττονται καὶ τὰ ἑξῆς, ἄχρι τοῦ, ὅταν πράττωνται. Ergo ipse ea, quae delevit, agnovit D. 1. αἱρεταὶ refertur ad πράξεις.

καθ' ἑαυτὰς οὐκ κ. τ. λ.] καθ' ἑαυτὰς ἑκουσίως οὐκ οὖσαι. D. 1. Ab οὐκ οὖσαι ad μὲν καθ' ἑαυτὰς absunt. A. 3.

ἐξ ἑκουσίου κ. τ. λ.] ἐξ ἀκουσίου καὶ ἑκουσίου. ἀκούσιον μὲν καθ' ἕτερον· ἑκούσιον δὲ τό,τε διὰ περίστασιν. Comma inter τὸ et τε est a man. rec. D. 1. Ex invito ultroneoque. Vall. Ποτὲ μὲν, loco τότε. A. 3.

περιστάσεως ad ἑκουσίαι εἰσίν.] absunt. M. 1.

πρᾶξαι. δηλοῖ] παθεῖν. δῆλος. D. 1. παθεῖν exhibet etiam A. 3. Mox, γινόμενος ἔπαινος. D. 1.

ὅτι ἑκούσιαι] Sic, sed litterae τι ε deinceps a rec. deletae. D. 1. Ab ὅτι ad ἢ ψόγος absunt. A. 3.

γὰρ ἔργων οὐδεὶς ἔπαινος ἢ ψόγος ἔσται. οὐκ ἔστι δὲ ῥά-
διον διακρίναι, ποῖον ἀντὶ ποίου αἱρετέον. δεῖ δὲ ὡς ἐπὶ
τὸ πολὺ πρὸ τῶν αἰσχρῶν αἱρεῖσθαι τὰ λυπηρὰ, ὡς Σω-
σάννα καὶ Ἰωσὴφ ἐποίησαν, οὐκ ἀεὶ μέντοι. Ὠριγένης γοῦν,
126 διὰ τὸ μὴ περιπεσεῖν τῇ αἰσχύνῃ τῇ τῶν Αἰθιόπων, ἐπι-
θύσας, τοῦ παντὸς ἐξέπεσεν. οὕτως οὐκ ἔστιν εὔκολος ἡ
τῶν τοιούτων διάγνωσις. ἔτι δὲ καὶ τούτου χαλεπώτερόν
ἐστι, τὸ ἐμμεῖναι τοῖς δόξασιν. οὐ γὰρ ὁμοίως ἐκπλήσσει
τὰ δεινὰ προσδοκώμενα καὶ ἐπαγόμενα. ἀλλ' ἐνίοτε κρίναν-
τες ἐξιστάμεθα τῆς κρίσεως, ἐν τοῖς δεινοῖς γενόμενοι, ὡς

VAR. LECT. ET ANIMADV.

οὐκ ἔστι δὲ ῥᾴδιον] οὐκ ἔσται δὲ ῥᾴδιον. A. 1. δὲ ſolum inſertum a man. rec. D. 1. Mox διακρῖναι. Idem.

αἱρετόν. δεῖ] αἱρετέον. δεῖ. D. 1. A. 1. 3. αἱρητέον (Sic.) δεῖ. M. 1.

οὐκ ἀεὶ μέντοι] οὐκ ἀεὶ μεμπτοί. D. 1. A. 1. 2. M. 1. *Non usque lamentabundi.* Vall. Probo vulgatum. Nam ἀεὶ opponitur τῷ, ὡς ἐπὶ τὸ πολύ. *Neque id ſemper.* Con. Tamen hic aliquis opponere poſſit, Atqui turpitudini ſemper poſtponendum eſt damnum, calamitas et mors.

αἰσχύνῃ τῇ τῶν] τῇ abeſt. D. 1. Id eſt, τῇ παρὰ τῶν αἰθιόπων. Origenes in eam neceſſitatem ab Aethiopibus compulſus, ut aut libidini dederet corpus, aut idolis thus adoleret, poſterius elegit. vid. Epiphan. T. I. p. 525. Θύειν autem eſſe *thus adolere*, ſatis docuit Graevius ad Heſiod. ἔργ. 338. Loco *Origenes* Cono habet, *Horexonius.* Mox αἰθιοπίων. A. 3.

ἐπιθύσας] θύσας. A. 2. Heliodor. p. 87. τοῦ λιβανωτοῦ λαβὼν ἐπέθυσα.

ἔτι δὲ καὶ τούτοις χαλεπώτερόν ἐστι τὸ ἐμμεῖναι] τούτου, loco τούτοις. A. 1. 3. D. 1. Sed in hoc ἔτι eſt ex correct., antea erat ἔστι. Idem habet, τὸ μὴ ἐμμεῖναι. ἔστι δὲ καὶ τούτων χαλεπώτερον τὸ μὴ ἐπιμεῖναι. M. 1. ἐστι omittit A. 3. Τούτοις locum ita habere nequit. Comparativus genitivum poſtulat. Aliud eſt, πρὸς τούτοις. Cono: Amplius autem eſt iſto difficilius, non permanere. Valla: Quin et magis arduum eſt, in opinionibus perſiſtere.

ἐξιστάμεθα] ἐξίστασθαι. A. 3. Idem mox, γινόμενοι.

ἐπί τινων συμβέβηκεν ἐν τῷ μαρτυρεῖν. τὴν ἀρχὴν γὰρ καρτερήσαντες, περὶ τὰ τέλος ἐνέδωκαν, ἐν τῇ πείρᾳ τῶν χαλεπῶν ἀπομαλακισθέντες. μηδεὶς δὲ νομίσῃ τῆς ἀκολασίας τὴν ἐπιθυμίαν ἢ τὸν θυμὸν, τῶν ἀκουσίων εἶναι πλημμελημάτων, ἐπειδὴ καὶ ταῦτα τὴν ἀρχὴν ἔξωθεν ἔχει τὴν ποιητικήν. τότε γὰρ κάλλος τῆς πόρνης ἐξοίστρησεν ἐπὶ τὴν ἀκολασίαν τὸν ἑωρακότα, καὶ ὁ παροξύνας ἐκίνησε τὸν θυμόν. εἰ γὰρ καὶ τὴν ἀρχὴν ἔξωθεν ἔχουσιν, ἀλλ' αὐτοὶ δι' ἑαυτῶν καὶ τῶν ὀργανικῶν μορίων ἐνεργοῦσι, καὶ οὐχ ὑποπίπτουσι τῷ ὅρῳ τοῦ ἀκουσίου, ὁπότε καὶ τῆς ἀρχῆς τὴν αἰτίαν ἑαυτοῖς παρέχονται, διὰ φαύλην ἀγωγὴν ὑπὸ τῶν παθῶν ῥᾳδίως αἰχμαλωτιζόμενοι. ψέγονται γοῦν οἱ ταῦτα πράττοντες, ὡς ἑκούσιον κακὸν ὑπομένοντες. ὅτι δὲ ἑκούσιόν ἐστι, δῆλον. ἥδονται γὰρ ἐπὶ τῇ πράξει· τὸ δὲ ἀκούσιον λυπηρὸν ἐδείχθη. περὶ μὲν οὖν τοῦ ἀκουσίου τοῦ βίᾳ ταῦτα, περὶ δὲ τοῦ δι' ἄγνοιαν εἰπεῖν ὑπολείπεται.

VAR. LECT. ET ANIMADV.

ἐν τῷ μαρτυρεῖν] In perferendo martyrio. Con. Mox: μηδεὶς δὲ νομίσει. A. 3.

ἑωρακότα] ὡρακότα. A. 3.

παρέχονται] παρέχωνται et ex correct. rec. o. D. 1. παρέχωνται. A. 3.

τοῦ βίᾳ ἀκουσίου] τοῦ ἀκουσίου τοῦ βίᾳ. A. 1. 2. D. 1. Mox idem ὑπολείπεται. περὶ μὲν τοῦ ἀκουσίου τοῦ βίᾳ ταῦτα, περὶ τοῦ — ὑπολείπεται. A. 3.

ΚΕΦ. ΛΑ'.

ΠΕΡΙ ΤΟΥ ΔΙ' ΑΓΝΟΙΑΝ ΑΚΟΥΣΙΟΥ.

127 Πολλὰ πράττομεν δι' ἄγνοιαν, ἐφ' οἷς μετὰ τὴν πρᾶξιν χαίρομεν, ὡς ὅταν τις ἄκων μὲν ἐχθρὸν Φονεύσῃ, χαίρῃ δὲ ἐπὶ τῷ Φόνῳ. ταῦτ' οὖν καὶ τὰ τοιαῦτα καλοῦσιν οὐχ ἑκούσια, οὐ μέντοι καὶ ἀκούσια. καὶ πάλιν πράττομέν τινα δι' ἄγνοιαν, καὶ ἐπὶ τοῖς γενομένοις λυπούμεθα. ταῦτα δὲ ἐκάλεσαν ἀκούσια, ὅσοις πραχθεῖσιν ἐπακολουθεῖ λύπη. τῶν οὖν δι' ἄγνοιαν, δύο ἐστὶν εἴδη· ἓν μὲν, τὸ οὐχ ἑκούσιον, ἕτερον δὲ, τὸ ἀκούσιον. πρόκειται δὲ νῦν εἰπεῖν περὶ μόνου τοῦ ἀκουσίου. τὸ γὰρ οὐχ ἑκούσιον τοῖς ἑκουσίοις μᾶλλον ὑπάγεται, μικτὸν ὑπάρχον. τὴν μὲν γὰρ ἀρχὴν ἀκούσιον ἔχει· τὸ δὲ τέλος, ἑκούσιον. ἐξ ἀποβάσεως γὰρ ἑκούσιον γέγονε τὸ ἀκούσιον. διὸ καὶ οὕτως ὁρίζονται τὸ ἀκούσιον. ἀκούσιόν ἐστι, τὸ, πρὸς τῷ μὴ ἑκούσιον εἶναι, ἐπίλυπον ὂν καὶ

VAR. LECT. ET ANIMADV.

Cap. 31. Index idem. A. 1. 3. A man. rec. in marg. A. 2. Idem index, sed caput λ. D. 1. Λόγος, loco κεφ. M. 1. De invito per ignorantiam. cap. 30. Vall. Cono incipit libri 5. cap. 2. De involuntario per ignorantiam, et an excuset.

μετὰ πρᾶξιν] μετὰ τὴν πρᾶξιν. D. 1. A. 1. 2. 3. Mox καὶ ὅταν, loco ὡς ὅταν. M. 1. Deinde: τὶς μὲν ἀκουσίως τὸν ἐχθρόν. A. 3.

Φονεύσῃ] *alium ratus* occiderit: *aliumne occiderit*, *inimicum arbitratus*. Valla.

χαίρει δὲ] χαίρῃ δέ. A. 1. 2.

οὐχ ἑκούσια — ἀκούσια] absunt. A. 1. 2. οὐ μέντοι καὶ ἀκούσια omittit Vall. Mox, ἐπὶ τοῖς γενομένοις. A. 1. 2. D. 1. Con. Vall. ἐπὶ abest solum. M. 1.

ταῦτα ἐκάλεσαν] δὲ, post ταῦτα, addit D. 1. οὖν addit A. 3. Mox, παρακολουθεῖ λύπη. A. 1. 2.

περὶ τοῦ ἀκουσίου μόνου] περὶ μόνου τοῦ ἀκουσίου. D. 1. A. 1. 2. 3.

οὕτως ὁρίζονται] ὁρίζονται οὕτως. A. 2. διὸ καὶ — ἀκούσιον absunt. A 3.

ἐστι τὸ πρὸς τῷ μὴ κ. τ. λ.] ἐστιν ὃ μὴ πρὸς τό. A. 3. ἐστι, τὸ μὴ πρὸς τὸ ἑκούσιον εἶναι καὶ ἐπίλυπον ὂν καὶ ἐν. D. 1.

ἐν,

ἐν μεταμελείᾳ. πάλιν, ἄλλο μέν ἐστι, τὸ δι' ἄγνοιάν τι ποιεῖν, ἄλλο δὲ, ἀγνοοῦντα. ἐὰν γὰρ ἐφ' ἡμῖν ᾖ τῆς ἀγνοίας τὸ αἴτιον, ἀγνοοῦντες μὲν ποιοῦμεν, οὐ δι' ἄγνοιαν δέ. ὁ γὰρ μεθύων καὶ θυμούμενος καὶ ποιῶν τι φαῦλον, ὁ μὲν τὴν μέθην, ὁ δὲ τὴν ὀργὴν αἰτίαν ἔχει τῶν ὑπ' αὐτοῦ γινομένων, ἅπερ ἑκούσια ἦν. ἐξῆν γὰρ αὐτῷ μὴ μεθυσθῆναι. αὐτὸς οὖν ἑαυτῷ τῆς ἀγνοίας γέγονεν αἴτιος. ταῦτα οὖν οὐ δι' ἄγνοιαν λέγεται ποιεῖν, ἀλλ' ἀγνοῶν πράττειν, ἅπερ οὐκ ἔστιν ἀκούσια, ἀλλ' ἑκούσια. διὸ καὶ ψέγονται παρὰ τῶν

VAR. LECT. ET ANIMADV.

ἐν, ante μεταμελείᾳ, omittit M. 1. Ex his probavi ſolum ὄν, loco ἐστί. Si quis tamen ἐστὶ malit retinere, ante πρὸς τῷ, loco τὸ, ſcribendum eſt ὅ. Cono: Involuntarium eſt, quod cum voluntarium ſit, triſtitiam et poenitudinem affert. Ergo deeſt μή. Valla: Invitum eſt, quod, quoniam voluntarium non eſt, aegrimoniam affert: et porro quod in poenitentia collocatum eſt.

ἐστι δι' ἄγνοιαν] ἐστι τὸ δι' ἄγνοιαν. D. 1. Mox: ποιεῖν, καὶ ἄλλο ἀγνοοῦτα, et mox, ὑπάρχῃ, loco ᾖ. A. 3.

ἀγνοοῦντες μὲν ποιοῦμεν] μὲν abeſt. D. 1. Mox idem καὶ ὁ θυμούμενος. Equidem malim, ὁ γὰρ μεθύων ἢ θυμούμενος, ποιῶν τι φαῦλον.

ἅπερ ἑκούσια ἦν] ἅπερ ἦν ἑκούσια. D. 1. ἅπερ ἦν ἀκούσια. A. 3.

μὴ μεθυσθῆναι] non ebriari, non iraſci. Valla. Legit ergo, μηδὲ θυμοῦσθαι. Hoc mihi valde probatur. Mox idem omittit, αὐτὸς οὖν — αἴτιος.

τῆς ἀγνοίας γέγονεν] γέγονε τῆς ἀγνοίας. D. 1. A. 3. Conſer Jo. p. 192. A.

ἀλλ' ἀγνοοῦντα πράττειν] ἀλλ' ἀγνοοῦντος πράττει. A. 3. Forte voluit: λέγονται ποιεῖν, ἀλλ' ἀγνοοῦντες πράττειν. Ellebodius, *inſciens*. Cono, *ignoranter*. Valla, *ignarus*. Ergo ἀγνοῶν, quod malim, aut, ἀγνοῶν διαπράττειν. Ceterum non ignoro, λέγεται alibi etiam habere accuſativum cum infinitivo, ut Xenoph. Mem. Socr. I, 2, 40. λέγεται ἀλκιβιάδην περικλεῖ διαλεχθῆναι. Cyrop. I, 3, 4. Τὸν κῦρον ἀποκρίνασθαι λέγεται. Et ibid. I, 4, 25.

ἑκὼν ἄρα] ἑκὼν καί. D. 1. ἑκὼν γὰρ καί. M. 1. ἑκὼν ἄρα καὶ ταῦτα. A. 3.

δι' ἄγνοιαν] vid. Jo. p. 192. A.

χρηστῶν οἱ ταῦτα πράττοντες. εἰ γὰρ μὴ ἐμεθύσθη,
οὐκ ἂν ἐποίησεν· ἑκὼν δὲ ἐμεθύσθη, ἑκὼν ἄρα ταῦτα
128 ἐποίησε. δι' ἄγνοιαν δὲ ταῦτα πράττομεν, ὅταν μὴ αὐτοὶ
παρέχωμεν τὴν αἰτίαν τῆς ἀγνοίας, ἀλλ' οὕτω συνέβη·
οἷον, ἐν τῷ τόπῳ τις τῷ συνήθει τοξεύων, τὸν πατέρα
παριόντα κατὰ τύχην βαλὼν, ἀπέκτεινεν. ἐκ τῶν εἰρημέ-
νων οὖν ἀποδείκνυται, ὅτι οὐχ ὁ ἀγνοῶν τὰ συμφέροντα,
οὐδ' ὁ νομίζων εἶναι τὰ φαῦλα χρηστὰ, πάθος ἀκούσιον
ὑπομένει. τῆς γὰρ αὐτοῦ μοχθηρίας ἐστὶν ἡ ἄγνοια· ψέ-
γεται γοῦν καὶ οὗτος· τῶν δὲ ἑκουσίων ὁ ψόγος. οὐκ ἄρα
τῶν καθόλου καὶ γενικῶν, ἢ τῶν κατὰ προαίρεσιν, ἀκού-
σιός ἐστιν ἡ ἄγνοια· ἀλλὰ τῶν ἐν μέρει. τὰ μὲν γὰρ καθ'
ἕκαστα ἄκοντες, τὰ δὲ καθόλου ἑκόντες ἀγνοοῦμεν. τούτων
οὕτω διωρισμένων ἑξῆς ῥητέον, ποῖά ἐστι τὰ καθ' ἕκαστα.
ταῦτα δέ ἐστιν, ἃ καλεῖται παρὰ τοῖς ῥήτορσι περιστατικὰ

VAR. LECT. ET ANIMADV.

παρέχωμεν] παράσχωμεν. A. 3.

συνέβη· οἷον ἐν τῷ τόπῳ] συμβάν· οἷον τῷ τόπῳ. D. 1. Forte, ἀλλ' ἐὰν οὕτω συνέβη. Hoc eſt, ſi caſu acciderit, ut verſaremur in ignorantia.

παριόντα] περιϊόντα. A. 1. 2. et in marg. Ant. Παριόντα eſt *praetereuntem:* περιϊόντα eſt *obambulantem.* Prius magis placet. Ita etiam exhibet Jo. l. l. *Transeuntem.* Con. *Praetereuntem.* Vall.

οὖν ἀποδείκνυται] συναποδείκνυται. A. 1. Οὖν et σὺν ſaepe confuſa ſunt.

νομίζων εἶναι] νομίζων πάλιν εἶναι. D. 1. Mox: φαῦλα τὰ χρηστά. A. 3.

πάθος ἀκούσιον ὑπομένει] πάθος ἑκούσιον ὑπομένει. A. 2. 3. Con. πάθος ἀκούσιον ὑπομένει, ἀλλ' ἑκούσιον. D. 1. Valla vulgatum expreſſit. Mox, τῆς γὰρ αὐτῶν μοχθ. D. 1.

ψέγεται γοῦν καὶ οὗτος] ψέγονται οὖν καὶ αὐτοί. D. 1. Sed οὖν ex correct., antea γοῦν. Mox idem poſt ψόγος addit ἐστίν. Sed hoc intelligitur per ſe.

γενικῶν] poſt hoc iterum habet: ἢ τῶν καθόλυ. A. 3.

ἑξῆς ῥητέον] Hic rurſus incipit textus a prima manu. A. 2.

ποία ἐστὶ τὰ καθ' ἕκαστα] ὁποῖα, loco ποία. A. 2. Confer Jo. p. 192. B.

μόρια· τίς, τίνα, τί, τίνι, ποῦ, πότε, πῶς, διατί. οἷον, πρόσωπον, πρᾶγμα, ὄργανον, τόπος, χρόνος, τρόπος, αἰτία. πρόσωπον μὲν, τὸ ποιοῦν, ἢ περὶ τίνα ἡ πρᾶξις· οἷον, εἰ πατέρα υἱὸς ἐτύπτησεν ἀγνοῶν· πρᾶγμα δὲ, αὐτὸ τὸ πραχθὲν, εἰ ῥαπίσαι θέλων ἐτύφλωσεν· ὄργανον δὲ, εἰ λίθον ἠκόντισεν, νομίσας εἶναι κίσσηριν· τόπος δὲ, εἰ ἐν τῷ περικλᾷν στενωπὸν, ἔκρουσεν ἀγνοῶν τὸν ἀπαντήσαντα· χρόνος δὲ, εἰ ἐν νυκτὶ, νομίσας πολέμιον τὸν φίλον, ἐφόνευσεν· τρόπος δὲ, εἰ πλήξας ἠρέμα καὶ μὴ ῥαγδαίως, ἐφόνευσεν. ἠγνόησε γὰρ, εἰ πληγεὶς ἠρέμα τελευτήσει·

VAR. LECT. ET ANIMADV.

τί, τίνι, ποῦ] *τίνι* abeſt. D. 1. A. 2. *τί τίνι* abeſt. A. 3. *τίνα* et *τίνι* omittit Con. *τίνα*, quod ad perſonam refertur, inepte Valla reddidit *quae*, loco *quem*. Idem *τίνι* omittit.

πρόσωπον μὲν τὸ ποιοῦν κ. τ. λ.] *οἷον πρόσωπον μὲν τὸ ποιοῦν. τίνα δὲ, περὶ τίνα.* A. 2. Sic, omiſſo *οἷον*. D. 1. *τίνα δὲ περὶ τίνα* habet etiam M. 1. Mox, *οἱονεὶ*, junctim. A. 2. *Πρόσωπον* duplex eſt, *ποιοῦν καὶ πάσχον*. Apud Hermogenem p. 141. haec breviter ita notantur, *τόπος, χρόνος, τρόπος, πρόσωπον, αἰτία, πρᾶγμα*. Paullo ante: *χρόνος καὶ τρόπος*. A. 3. et poſt: *ποιοῦν τινὰ δὲ οἷον περί*. Idem.

ἐτύπτησεν] A *τυπτέω*. Ita Ariſtoph. Nub. v. 1445. *τυπτήσω*. Plut. v. 21. ubi ſcholiaſta ita habet: *Τὸ δὲ τυπτήσεις ἀττικόν ἐστιν, ἀπὸ τοῦ τυπτέω, ἀχρήστου θέματος.*

κίσσηριν] *κίσηριν τὸν λίθον*. D. 1. *κίσηρην* (ſic) *τὸν λίθον*. A. 2. *καίσηριν τὸν λίθον*. A. 3. Duplici et uno *σ* ſcribitur. Ceterum plane ita Ariſtot. Eth. ad Nicomach. III, 1. de re eadem: *ἢ τὸν λίθον κίσσηριν εἶναι.* Mox *περικλᾷν* idem eſt, quod *περιελάσαι*. Valla reddidit, *in demoliendo*.

ἀπαντήσαντα] *παραπατήσαντα* et ex correct. *περιπατήσαντα*. M. 1.

ἠρέμα καὶ μὴ ῥαγδαίως] *ἠρέμα* ex correct. rec., antea *ἠρέμα*. Et *εἰ*, loco *μή*. D. 1. Senſim *vel* graviter. Con. Leviter ac minime impetuoſe. Vall. *ἠρέμα καὶ μὴ ἐχθίως*. A. 3.

ἠγνόησε γὰρ κ. τ. λ.] *ἠγνόει γὰρ εἰ πληγείς*. A. 1. Mox, *ἠρέμα*. A. 3. Loco *ἠρέμα*, habet *ἅμα*, D. 1. A. 1. Hoc perplacet.

αἰτία δὲ, εἰ ὁ μὲν ἔδωκε φάρμακον, ὡς ὑγιάζον, ἀπέθανε δὲ ὁ λαβὼν, τῷ τὸ φάρμακον εὑρεθῆναι δηλητήριον. ἀλλὰ
129 ταῦτα μὲν ἅμα πάντα οὐδ' ἂν μαινόμενός τις ἀγνοήσειεν· ὁ δὲ τὰ πλεῖστα τούτων ἢ τὰ κυριώτερα ἀγνοήσας, οὗτος δι' ἄγνοιαν πεποίηκε. κυριώτατα δέ ἐστιν ἐν τούτοις τὸ, οὗ ἕνεκα, καὶ τί τὸ πραττόμενον, τουτέστιν, ἡ αἰτία καὶ τὸ πρᾶγμα.

ΚΕΦ. ΛΒ'.

ΠΕΡΙ ΤΟΥ ἙΚΟΥΣΙΟΥ.

Τοῦ ἀκουσίου ὄντος διττοῦ, τοῦ τε δι' ἄγνοιαν καὶ τοῦ κατὰ βίαν, τὸ ἑκούσιον ἀμφοτέροις ἀντίκειται. ἔστι γὰρ τὸ μήτε βίᾳ, μήτε δι' ἄγνοιαν γινόμενον. καὶ ἔστιν οὐ βίᾳ μὲν, οὗ ἡ ἀρχὴ ἐν αὐτοῖς· οὐ δι' ἄγνοιαν δὲ, εἰ μὴ

VAR. LECT. ET ANIMADV.

φάρμακον ὡς ὑγιάζον] φάρμακα ὡς ὑγιάζων. M. 1.
τὸ φάρμακον εὑρεθὲν] τῷ τὸ φάρμακον εὑρεθῆναι. D. 1. A. 1. 2. *Quia*. Con. τῷ τὸ φάρμ. δηλητ. εὑρεθῆναι. A. 3.
πάντα οὐδ' ἂν] ἅπαντα οὐδ' ἄν. A. 2. *Praecludendo oculos*. Ergo, μύων τοὺς ὀφθαλμούς. Con. Male! Valla, *infamis*. Voluit, *insanus*.
ἀγνοήσειεν] ἠγνόησε. A. 3. Nec hoc male.
ἢ κυριώτερα] τὰ, post ἢ, addit D. 1. A. 1. 2. 3. Mox, κυριώτατα, loco κυριώτερα. D. 1. A. 1. 2. Con. Vall. κυριώτερον A. 3.
τὸ οὗ ἕνεκα κ. τ. λ.] τοῦ οὗ ἕνεκα καὶ τὸ πραττόμενον. A. 2. τὸ οὗ ἕνεκα καὶ τὸ τί πράττομεν. D. 1.
Cap. 32. Index: περὶ ἑκουσίου. D. 1. A. 3. Sic, addito λβ. A. 1. Idem a man. rec. additum. A. 2. Λόγος, loco κεφ. habet M. 1. De ultroneo. cap. 31. Vall. Cono incipit libri 5. cap. 3. De voluntario, et quibus consistat animae partibus. Confer Jo. p. 192. B.
καὶ τοῦ κατὰ βίαν] τοῦ a man. rec. insertum. D. 1.
τὸ μὴ μετὰ βίας] τὸ μήτε βίᾳ. A. 1. 2. 3. D. 1. Mox, καὶ οὐκ ἔστιν οὐ βίᾳ. A. 2. Jo. l. l. ita habet: ἔστι γὰρ ἑκούσιον, τὸ μήτε κατὰ βίαν, μήτε δι' ἄγνοιαν γινόμενον.
οὗ ἡ ἀρχὴ ἐν αὐτοῖς] ἑαυτοῖς, loco αὐτοῖς. M. 1. Mox: ὁρίζομεν εἶναι τὸ ἀκούσιον οὗ. A. 3.

τῶν καθ' ἕκαστα τί εἴη ἀγνοούμενον, δι' ὧν καὶ ἐν οἷς ἡ πρᾶξις. συνθέντες οὖν ἑκάτερον ὁριζόμεθα τὸ ἑκούσιον, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, εἰδότι τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις. ζητεῖται δὲ, εἰ τὰ φύσει γινόμενα ἑκούσιά ἐστιν· οἷον, ἡ πέψις καὶ ἡ αὔξησις. δείκνυται δὲ ταῦτα μήτε ἑκούσια, μήτε ἀκούσια. τὸ γὰρ ἑκούσιον καὶ ἀκούσιον ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν· ἡ δὲ πέψις καὶ ἡ αὔξησις οὐκ ἐφ' ἡμῖν. ὅθεν, εἰ καὶ τὰ καθ' ἕκαστα μὴ ἀγνοοῦμεν, τῷ μὴ ἐφ' ἡμῖν αὐτὰ εἶναι, οὔτε ἑκούσιά ἐστιν, οὔτε ἀκούσια. τὰ δὲ διὰ θυμὸν καὶ ἐπιθυμίαν ἐδείχθη ἑκούσια. καὶ γὰρ κατορθούμενα ἐπαινεῖται, καὶ ἁμαρτανόμενα ψέγεται ἢ μισεῖται· καὶ ἡδονὴ καὶ λύπη αὐτοῖς ἐπακολουθεῖ, καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς ἐστιν.

VAR. LECT. ET ANIMADV.

ἐν αὐτῷ, εἰδότι] ἐν ἑαυτῷ, εἰδότι. D. 1.

ἑκούσιά ἐστιν] ultroneane ſint, an non. Vall.

καὶ ἡ αὔξησις] ἡ abeſt. A. 1. 2. Sic et mox ante αὔξησις abeſt in iisdem. Mox, *monſtratum eſt*. Con. Ab δείκνυται ad ἡ αὔξησις omittit Vall. δείκνυται γὰρ ταῦτα. A. 3.

ἐν τοῖς ἐφ' ἡμῖν] loco, *ex iis numerantur*, correxi, *in*.

ὅθεν εἰ καὶ τὰ καθ' ἕκαστα ἀγνοοῦμεν] ὅθεν καὶ τὰ καθέκαστα μὴ ἀγνοοῦμεν. A. 2. μὲν ſolum addit ante ἀγνοοῦμεν. A. 1. μὴ ejus loco addit. Syllaba vero ου in ἀγνοοῦμεν ex correct. Mox, τὸ μὴ ἐφ'. D. 1. Sententia eſt ambigua, ita ut μὴ adeſſe et abeſſe poſſit. Naturalia enim eo, quod non ſunt in noſtra poteſtate, nec ἑκούσια, nec ἀκούσια ſunt, etiamſi ſingula eorum ignoremus, aut non ignoremus. Cono: *Non ignoramus*. Valla: *licet ſingularia ignoremus*. Quoniam paullo ante duo retulit ad ἑκούσιον, τὸ, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, ſeu, ὃ ἐφ' ἡμῖν, et τὸ, εἰδότι τὰ καθ' ἕκαστα· malim nunc ſic: εἰ καὶ τὰ καθ' ἕκαστα μὴ ἀγνοοῖμεν, *etiamſi ſingula in rebus naturalibus non ignoremus*. Pleraque enim in iſtis rebus naturalibus ignoramus. Ergo primo ſublatum μὴ, ac deinde correctum ἀγνοοῦμεν. Mox: τῷ μὴ ἐφ' ἡμῖν αὐτὸ εἶναι. A. 3.

τὰ δὲ διὰ θυμοῦ] διὰ abeſt. A. 2.

ἐδείχθη] ex raſura et correct. primae manus. Forte antea ἐπεδείχθη, aut, ἐδιδάχθη. D. 1. Reſpicit autem in his extrema capitis 30.

καὶ λύπη] καὶ ἡ λύπη. A. 2. Mox idem, ordine inverſo, ἁλίσκεσθαι ῥᾳδίως.

ἐν αὐτοῖς γὰρ ἦν τὸ μὴ ὑπὸ τῶν παθῶν ῥᾳδίως ἁλίσκεσθαι. διὰ γὰρ τῶν ἐθῶν τὰ τοιαῦτα κατορθοῦται. ἄλλως τε,
130 εἰ ταῦτα ἀκούσια, οὐδὲν τῶν ἀλόγων ζώων ἑκουσίως τὶ πράττει, ἀλλ' οὐδὲ τὰ παιδία· νῦν δὲ οὐχ' οὕτως ἔχει· ὁρῶμεν γὰρ ἑκουσίως αὐτὰ ἐπὶ τὴν τροφὴν ἐρχόμενα, καὶ οὔτε βίᾳ· αὐτὰ γάρ ἐστι τὰ δι' ἑαυτῶν ὁρμῶντα· οὔτε δὴ ἀγνοοῦντα· τὴν γὰρ τροφὴν οὐκ ἀγνοεῖ. θεωρήσαντα γοῦν τροφὴν, ἥδεται καὶ ὡς ἐπὶ πρᾶγμα γνώριμον ὁρμᾷ, καὶ ἀποτυγχάνοντα λυπεῖται. ἑκουσίου δὲ γνώμονες, ἐπιτυγχάνοντος μὲν, ἡδονὴ, ἀποτυγχάνοντος δὲ, λύπη· ἐξ ὧν δῆλον, ὡς ἑκούσιον ἔχει τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν· καὶ γὰρ ὁ θυμὸς μεθ' ἡδονῆς γίνεται. καὶ ἄλλως, ἐάν τις τὰ διὰ θυμὸν καὶ ἐπιθυμίαν ἑκούσια μὴ λέγῃ, ἀναιρεῖ τὰς ἠθικὰς ἀρετάς. ἐν μεσότητι γὰρ αὗται τῶν παθῶν εἰσιν. εἰ δὲ ἀκούσια τὰ πάθη, ἀκούσιοι καὶ αἱ πράξεις αἱ κατὰ τὰς ἀρετάς. καὶ γὰρ αὗται κατὰ πάθος γίνονται. οὐδεὶς δὲ τὸ κατὰ λογισμὸν καὶ προαίρεσιν καὶ κατ' οἰκείαν ὁρμὴν καὶ ἔφεσιν, μετὰ τοῦ γνωρίζειν τὰ καθ' ἕκαστα, ἀκούσιον

VAR. LECT. ET ANIMADV.

διὰ γὰρ τῶν ἐθῶν — κατορθοῦται] Idem dixit p. 100. In vocabulo κατορθοῦται deficit M. 1. Sed in eodem paullo inferius proxima capita adduntur. Vide mox indicem capitis 33. ἠθῶν, loco ἐθῶν habet inferius πράξει. A. 3.

ἀκουσίως αὐτὰ] αὐτὰ ἑκουσίως. D. 1. ἑκουσίως αὐτά. A. 1. 2. 3. *Voluntarie.* Con. *Ultro.* Vall.

οὔτε δὴ ἀγνοοῦντα] οὔτε δὲ ἀγνοοῦντα. A. 1. Prorsus absunt. A. 2. δὴ abest D. 1. οὐκ ἀγνοοῦντα. A. 3. Mox: θεωρήσαντα γὰρ τροφήν. A. 3.

ἐάν τις τὰ διὰ θυμὸν] τὰ abest. A. 1.

ἑκούσια μὴ λέγοι] ἀκούσια λέγῃ. A. 2. ἑκούσια μὴ λέγῃ. D 1.

ἐν μεσότητι γὰρ] γὰρ, post ἐν, insertum. A. 2. Mox, ἀκούσιαι καὶ αἱ πράξεις. A. 1.

καὶ γὰρ αὗται] Malim, καὶ γὰρ αὐταί. Hoc autem concludit ex opinione eorum, qui πάθη dicunt esse ἀκούσια. Valla: nam et *ipsae.*

καὶ δι' οἰκείαν ὁρμὴν] κατ', loco δι'. D. 1. A. 1. 2. 3. *Secundum.* Con. Mox: ἕκαστα ἀκούσια λέγει. A. 3.

λέγει. ἐδείχθη δὲ καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς· ἑκούσια ἄρα. ἐπειδὴ δὲ πολλαχοῦ τῆς προαιρέσεως ἐμνημονεύσαμεν, καὶ τοῦ ἐφ' ἡμῖν, διαληπτέον καὶ περὶ προαιρέσεως.

ΚΕΦ. ΛΓ'.

ΠΕΡΙ ΠΡΟΑΙΡΕΣΕΩΣ.

Τί ἄρα ἐστὶν ἡ προαίρεσις; ἆρα τὸ ἑκούσιον, ἐπειδὴ πᾶν
τὸ κατὰ προαίρεσιν καὶ ἑκούσιόν ἐστιν; ἀλλ' οὐκ ἀντιστρέ-
φει, ὅπερ ἐγένετο ἂν, εἰ ταὐτὸν ἦν ἑκούσιον καὶ προαίρεσις·
νῦν δὲ ἐπὶ πλέον εὑρίσκομεν τὸ ἑκούσιον. πᾶσα μὲν γὰρ 131
προαίρεσις ἑκούσιος· οὐ πᾶν δὲ τὸ ἑκούσιον ἐν προαιρέσει.
καὶ γὰρ τὰ παιδία καὶ τὰ ἄλογα ἑκουσίως μὲν ποιεῖ, οὐ

VAR. LECT. ET ANIMADV.

ἑκούσια ἄρα] in marg. ἑκούσιος. Ant. ἑκούσιος ἄρα. A. 3. Mox idem: ἐπειδὴ δέ. *Voluntaria.* Con. *Ultroneum.* Vall.

ἐπεὶ δὲ πολλαχοῦ τῆς προαιρέσεως] ἐπειδὴ, loco ἐπεί. A. 1. 2. ἐπειδὴ δὲ τῆς προαιρέσεως πολλαχοῦ. D. 1. Hic Cono incipit libri 5. cap. 4. De electione, quid ſit, et quorum.

Cap. 33. Index idem, ſed nota capitis λβ. D. 1. Cum edito convenit A. 1. 3. et a man. rec. A. 2. De aſſenſione. cap. 32. Vall. Ab hoc capite pars altera Codicis M. 1. incipit iterum numerare, λόγος πρῶτος. Hoc caput autem tribuitur ibi Marco Epheſio.

ἡ προαίρεσις; ἆρα] ἡ προαιρέσεως ἀρχὴ καὶ αἰτία; ἆρα. M. 1.

ἆρα τὸ ἑκούσιον] ἆρα τὸ ἑκούσιον. A. 1. D. 1. Sed hic paullo ante etiam habet ἆρα. et in marg. a man. rec. προαίρεσίς ἐστιν ἀδούλωτόν τι χρῆμα καὶ αὐτεξούσιον ἐν τοῖς ἐλευθέροις τῆς διανοίας κινήμασιν. Particula ἆρα ſecundo loco ἐρωτηματικὴ eſt. Ergo ἆρα ſcribitur. Vide ſcholia ad Sophoclem p. 53.

ἐπὶ πλέον] ἐπιπλέον. D. 1.

πᾶσα μὲν γὰρ προαίρεσις ἀκούσιος] ἑκούσιος, loco ἀκούσιος. D. 1. A. 1. 2. 3. Ox. Con. Vall. M. 1. Mox, ἑκούσιον, καὶ προαίρεσις ἡ ἐν τῇ προαιρέσει. Idem.

καὶ γὰρ τὰ παιδία] vid. Jo. p. 192. C.

μὴν καὶ προαιρούμενα. καὶ ὅσα δὲ διὰ θυμὸν πράττομεν, μὴ προβουλευσάμενοι, ταῦτα ἑκουσίως μὲν ποιοῦμεν, οὐ μὴν καὶ κατὰ προαίρεσιν. ἀλλὰ καὶ ὁ φίλος ἡμῖν ἐξαίφνης ἐπέστη· ἑκουσίως μὲν, ὡς ἥδεσθαι· οὐ μὴν δὲ προῃρημένοις. καὶ ὁ θησαυρὸν ἀπροσδοκήτως εὑρὼν, ἑκουσίως μὲν ἑρμαίῳ περιέτυχεν, οὐ προαιρουμένως δέ. ἐκ πάντων οὖν συνάγεται, τὸ μὴ ταὐτὸν εἶναι τὸ ἑκούσιον τῇ προαιρέσει. ἆρ' οὖν ὄρεξίς ἐστιν ἡ προαίρεσις; ἀλλ' οὐδὲ τοῦτο. διαιρεῖται γὰρ ἡ ὄρεξις εἰς τρία, εἰς ἐπιθυμίαν καὶ θυμὸν καὶ βούλησιν. ἀλλ' ὅτι μὲν οὔτε θυμὸς, οὔτε ἐπιθυμία ἐστὶν ἡ προαίρεσις, φανερὸν ἐκ τοῦ μὴ εἶναι κοινωνίαν τοῖς ἀνθρώποις πρὸς τὰ ἄλογα κατὰ προαίρεσιν, ἀλλὰ κατ' ἐπιθυμίαν καὶ θυμόν. εἰ γὰρ κατὰ ταῦτα μὲν κοινωνοῦμεν, κατὰ προαίρεσιν δὲ διαφέρομεν, δῆλον, ὡς ἄλλο μέν τι προαίρεσις, ἄλλο δὲ θυμὸς καὶ ἐπιθυμία. δείκνυσι δὲ καὶ ὁ ἀκρα-

VAR. LECT. ET ANIMADV.

καὶ ὅσα μὲν διὰ θυμὸν] δὲ, loco μέν. D. 1. A. 1. 3. μὲν abeſt. A. 2. Mox, πράττωμεν. D. 1.

μὴ βουλευσάμενοι] μὴ προβουλευσάμενοι. A. 1. 2. 3. Sic et Jo. l. l. *Praedeliberati.* Con. Mox deeſt μέν. A. 2.

οὐ μὴν κατὰ προαίρεσιν] τὴν, poſt κατὰ, addit A. 1. οὐ μὴν καὶ κατὰ προαίρεσιν. D. 1.

οὐ μὴν δὲ προῃρημένοις] οὐ μὴν προειρημένοις. D. 1. δὲ ſolum omittunt A. 1. 2. οὐ μὴν προαιρουμένοις. ὁ θησαυρόν. A. 3. Mox, εὑρὼν ἀπροσδοκήτως ἑκουσίῳ μὲν ἑρμαίῳ. D. 1.

προαιρουμένως] προαιρούμενος. D. 1. A. 1. 2. Sed iſtud reſpondet τῷ ἑκουσίως. Hoc loco in marg. Codicis A. 3. a manu recentiori ſcriptum eſt: Ἀντόνιος ὁ μαυρογένητος γρ.

ἀλλ' οὐδὲ τοῦτο] hic rurſus incipit manus ſecunda in charta. A. 2.

κατὰ δὲ προαίρεσιν διαφέρομεν] κατὰ προαίρεσιν δὲ διαφέρομεν. D. 1. A. 1. 2. 3.

δείκνυσι δὲ καὶ ὁ ἀκρατὴς] δείκνυσι δὲ ὁ ἀκροατής. A. 2. δείκνυσι καὶ ὁ ἀκρατής. D. 1. ἀκροατὴς, loco ἀκρατής. A. 1. *Auditor.* Vall. *Continens.* Con. Ergo ἐγκρατής.

τῆς, κρατούμενος μὲν ὑπὸ τῆς ἐπιθυμίας, καὶ πράττων
κατ' αὐτὴν, μὴ μέντοι κατὰ προαίρεσιν. ἀντιβαίνει γὰρ
ἐπ' αὐτοῦ ἡ προαίρεσις τῇ ἐπιθυμίᾳ. εἰ δὲ ταὐτὸν ἦσαν,
οὐκ ἐμάχοντο. καὶ ὁ ἐγκρατὴς δὲ, πράττων κατὰ προαί-
ρεσιν, οὐ πράττει κατ' ἐπιθυμίαν. ὅτι δὲ οὔτε βούλησίς
ἐστιν ἡ προαίρεσις, δῆλον ἐντεῦθεν. οὐ πᾶσιν, οἷς ἁρμόζει 132
τὸ προαιρεῖσθαι, τούτοις ἁρμόζει καὶ τὸ βούλεσθαι. Φα-
μὲν γὰρ βούλεσθαι ὑγιαίνειν, προαιρεῖσθαι δὲ ὑγιαίνειν, οὐδεὶς
ἂν εἴποι· καὶ βούλεσθαι πλουτεῖν, οὐκ ἔτι δὲ καὶ προαι-
ρεῖσθαι πλουτεῖν λέγεται. ἔτι τὸ μὲν βούλεσθαι καὶ ἐπὶ
τῶν ἀδυνάτων τάττεται· τὸ δὲ προαιρεῖσθαι, ἐπὶ μόνων
τῶν ἐφ' ἡμῖν. οὕτω γοῦν φαμὲν, βούλομαι ἀθάνατος γε-
νέσθαι· προαιροῦμαι δὲ ἀθάνατος γενέσθαι, οὐ φαμέν. ἡ
μὲν γὰρ βούλησις τοῦ τέλους ἐστίν· ἡ δὲ προαίρεσις τῶν
πρὸς τὸ τέλος, κατὰ τὴν αὐτὴν ἀναλογίαν, ἣν ἔχει τὸ βου-
λητὸν πρὸς τὸ βουλευτόν. βουλητὸν μὲν γὰρ, τὸ τέλος·
βουλευτὰ δὲ, τὰ πρὸς τὸ τέλος. ἔτι ταῦτα μόνα προαι-
ρούμεθα, ἃ δι' ἡμῶν οἰόμεθα δύνασθαι γενέσθαι· βουλό-

VAR. LECT. ET ANIMADV.

πράττων ταύτην μὴ μέντοι καὶ κατὰ] πράττων κατ' αὐτὴν, μὴ μέντοι κατά. D. 1. Sic, ſed ſervato καί. A. 3. καὶ ſolum omittit A. 2.

ὅτι δὲ οὔτε βούλησις] οὐ, loco οὔτε. A. 3.

προαιρεῖσθαι δὲ ὑγιαίνειν] abſunt. A. 1. 2.

οὐκ ἔτι δὲ καὶ προαιρεῖσθαι πλουτεῖν] καὶ abeſt. D. 1.

καὶ τὸ μὲν βούλεσθαι] ἔτι, loco καί. A. 1. 2. 3. M. 1. Ox. *Praeterea.* Vall. Antea credo ἔτι μὲν καὶ τὸ βούλεσθαι. Sed καὶ τὸ raſum et poſt ἔτι inſertum a recent. τό. D. 1.

οὕτω γοῦν φαμὲν] γὰρ, loco γοῦν. A. 3. D. 1. Ante οὕτω habet ἡμῶν loco ἡμῖν, M. 1.

ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος] δὲ poſt προαίρεσις rejicit A. 1. 2. τοῦ, loco τῶν. D. 1.

ταῦτα μόνα προαιρούμεθα, ἃ δι' ἡμᾶς] ταῦτα προαιρούμεθα μόνα, ἃ δι' ἡμῶν. D. 1. ἡμῶν habet etiam A. 1. 2. 3. Paullo ante omittit τὸ, ante τέλος, M. 1. hic autem habet: προαιρούμενα, δι' ἡμῶν.

δύνασθαι γενέσθαι] γενέσθαι δύνασθαι. A. 3.

βουλόμεθα δὲ καὶ τὰ μὴ] μὴ abeſt. A. 2. Mox, οἷά τε inſertum. D. 1.

μεθα δὲ καὶ τὰ μὴ δι' ἡμῶν οἷάτε γενέσθαι, ὡς τὸ νικῆσαί τινα στρατηγόν. ὅτι μὲν οὖν οὔτε θυμὸς, οὔτε ἐπιθυμία, οὔτε βούλησίς ἐστιν ἡ προαίρεσις, αὐτάρκως ἀποδέδεικται. ὅτι δὲ οὐδὲ δόξα, δῆλον γίνεται καὶ διὰ τῶν αὐτῶν ἀποδείξεων, καὶ δι' ἑτέρων. ἡ γὰρ δόξα οὐ μόνον τῶν ἐφ' ἡμῖν, ἀλλὰ καὶ τῶν ἀϊδίων ἐστίν. ἔτι, δόξαν μὲν ἀληθῆ λέγομεν καὶ ψευδῆ· προαίρεσιν δὲ οὐ λέγομεν ἀληθῆ καὶ ψευδῆ. καὶ ἡ μὲν δόξα, τῶν καθόλου· ἡ δὲ προαίρεσις, τῶν καθ' ἕκαστα· περὶ γὰρ τῶν πρακτῶν ἡ προαίρεσις· ταῦτα δὲ, τὰ καθ' ἕκαστα. ἀλλ' ουδὲ βούλευσίς ἐστιν ἡ προαίρεσις, οἷον βουλή. βούλευσις μὲν γάρ ἐστι, ζήτησις

VAR. LECT. ET ANIMADV.

ὅτι δὲ οὐ δόξα] οὐδὲ, loco οὐ. D. 1. A. 1. 2. 3. *Neque.* Con. *Ne quidem.* Vall.

οὐ μόνον τῶν ἐφ' ἡμῖν ἐστὶν] μόνων, loco μόνον. A. 2. ἐστὶν abest. A. 1. 2. D. 1. οὐ μόνον τῶν ἐφ' ἡμῖν, ἀλλὰ καὶ τῶν ἀϊδίων ἐστι. δόξαν μέντοι ἀληθῆ. A. 3.

ἀϊδίων. ἔτι δὲ δόξαν] ἀϊδίων ἐστί. δόξαν. D. 1. δὲ ſolum omittunt A. 1. 2. Vall. Mox abſunt, προαίρεσιν — ψευδῆ. Con. Ἀληθῆ καὶ ψευδῆ abſunt. Vall. Similiter Ariſtot. Eth. ad Nicomach. III, 3. περὶ δὲ τῶν ἀϊδίων οὐδεὶς βουλεύεται· οἷον περὶ τοῦ κόσμου, ἢ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς, ὅτι ἀσύμμετροι.

περὶ γὰρ τῶν πρακτέων] πρακτῶν, loco πρακτέων. A. 1. 2. περὶ τῶν πρακτῶν. A. 3. Antea πρακτικῶν, nunc ex correct. rec. aut πρακτῶν, aut πρακτέων. D. 1. Similis varietas inter πρακτὸν et πρακτέον deinceps et inferius recurrit. Infra p. 142. Codd. omnes conſentiunt in πρακτὸν, quo fere Ariſtoteles utitur. A περὶ γὰρ ad ἕκαστα abſunt. Con.

ἀλλ' οὐδὲ βούλευσίς ἐστιν] βούλησις, loco βούλευσις. A. 3. Syllaba ευ ex correct. rec., antea credo η. Sic deinceps ter correctum. D. 1. Paullo poſt deeſt ζήτησις. A. 3.

περὶ τῶν αὐτῷ πρακτέων] πρακτῶν, loco πρακτέων. A. 1. 2. 3. περὶ τῶν αὐτοπρακτῶν. D. 1. Αὐτῷ, id eſt, τῷ βουλευομένῳ. Magis tamen placet αὐτοπρακτῶν. Αὐτῶν, loco αὐτῷ habet M. 1.

περὶ τῶν αὐτῷ πρακτῶν. προαιρετὸν δὲ, τὸ ἐκ τῆς βου-
λεύσεως προκριθέν. δῆλον οὖν, ὅτι ἡ μὲν βούλευσις, ἐπὶ 133
τοῖς ἔτι ζητουμένοις· ἡ δὲ προαίρεσις ἐπὶ τοῖς ἤδη προκε-
κριμένοις. τί μὲν οὖν οὐκ ἔστιν ἡ προαίρεσις, εἴρηται· τί
δὲ ἐστὶν, εἴπωμεν. ἔστιν οὖν μικτόν τι ἐκ βουλῆς, καὶ
κρίσεως, καὶ ὀρέξεως· καὶ οὔτε ὄρεξις καθ' ἑαυτὴν, οὔτε
κρίσις, οὔτε βουλὴ μόνη, ἀλλ' ἐκ τούτων τὸ συγκείμενον.
ὡς γὰρ λέγομεν, τὸ ζῶον ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι,
μήτε δὲ σῶμα εἶναι καθ' ἑαυτὸ τὸ ζῶον, μήτε ψυχὴν μό-
νην, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ τὴν προαίρεσιν. ὅτι
μὲν οὖν βουλή τις ἐστὶ καὶ βούλευσις μετ' ἐπικρίσεως, εἰ
καὶ μὴ αὐτοβουλὴ, φανερὸν καὶ ἐκ τῆς ἐτυμολογίας. προ-
αιρετὸν γάρ ἐστι, τὸ ἕτερον πρὸ ἑτέρου αἱρετόν. οὐδεὶς
δὲ προκρίνει τι, μὴ βουλευσάμενος, οὐδὲ αἱρεῖται, μὴ κρί-

VAR. LECT. ET ANIMADV.

τὸ ἐκ τῆς βουλεύσεως προκριθὲν] βουλῆς, loco βουλεύσεως. A. 1. 2. Ipſe auctor haec duo vocabula permutat. κριθὲν, loco προκριθέν. D. 1. M. 1.

ἔτι ζητουμένοις] ἐπιζητουμένοις. D. 1. ἔστι, loco ἔτι. M. 1. Mox εἴπωμεν ex correct., antea εἴπομεν. Idem.

ἐκ βουλῆς] ἐκ τῆς βουλῆς. A. 3.

ὄρεξις καθ' ἑαυτὴν οὔτε βουλὴ] ante οὔτε βουλὴ additum οὔτε κρίσις. D. 1. Hoc non agnoſcit Con. Vall.

ἐκ τούτων τὸ συγκείμενον] ἐκ τούτου συγκείμενον. A. 3. Mox idem: λέγωμεν. τὸ abeſt. D. 1. A. 1. τί, loco τό. A. 2. M. 1. Per graecitatem triplex haec lectio ferri poteſt. Malim τί.

μήτε δὲ σῶμα] δὲ a man. rec. inſertum. D. 1.

ὅτι μὲν οὖν βουλή τις] οὖν abeſt. A. 2. Quod autem conſilium quoddam ſit. Con. Vall. Mox βούλευσις a prima manu, quod notandum eſt propter ſuperiores correctiones. D. 1.

εἰ καὶ μὴ αὐτὸ βουλὴ] εἰ καὶ μὴ καὶ αὐτὸ βουλή. A. 2. αὐτοβουλὴ in unam vocem contractum a man. rec. D. 1. quod probo. Graeci frequenter ita αὐτὸ conjungunt cum aliis nominibus, ut αὐτοαλήθεια, αὐτολίθινος etc. Valla videtur legiſſe: αὐτὴ βουλὴ, μηδὲ βούλευσις, μηδὲ κρίσις, φανερόν. Mox poſt φανερὸν deeſt καί. A. 1. Paullo poſt, πρὸς ἕτερον αἱρητέον, loco πρὸ ἑτέρου αἱρετόν. M. 1.

νας. ἐπειδὴ δὲ οὐ πάντα, τὰ δόξαντα ἡμῖν εὖ ἔχειν, εἰς ἔργον ἀγαγεῖν προθυμούμεθα· τότε προαίρεσις καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλῆς, ὅταν προςλάβῃ τὴν ὄρεξιν. ἀναγκαίως οὖν ἡ προαίρεσις περὶ ταῦτά ἐστι, περὶ ἃ καὶ ἡ βουλή. συνάγεται δὴ ἐκ τούτων, προαίρεσιν εἶναι, ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν, ἢ βούλευσιν ὀρεκτικὴν τῶν ἐφ' ἡμῖν. τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. ἐπειδὴ δὲ τὴν προαίρεσιν ἔφαμεν περὶ ταὐτὰ εἶναι, περὶ ἃ καὶ ἡ βουλὴ, διασαφήσωμεν, περὶ τίνα καταγίνεται ἡ βουλὴ, καὶ περὶ τίνων βουλευόμεθα.

VAR. LECT. ET ANIMADV.

ἐπειδὴ δὲ] ἐπεὶ δέ. A. 3.

τὰ δόξαντα] τὰ abeſt. A. 1. 2. Mox, ἔργον προαγαγεῖν. A. 3. D. 1. Sed ἔργον ἄγειν. A. 1. 2. Deinde: τότε γὰρ προαίρεσις. M. 1.

περὶ ταῦτά ἐστι] περὶ ταὐτά ἐστι. D. 1. Ox. περὶ ταὐτά ἐστι, περὶ ἃ καὶ ἡ βούλησις. A. 3.

συνάγεται δὴ ἐκ τούτων] δὲ, loco δή. D. 1. A. 1. 2. συνάγαγε, loco συνάγεται. M. 1. οὖν, loco δή. A. 3. Prior definitio προαιρέσεως eſt etiam apud Ariſtot. Eth. ad Nicomach. III, 3. circa finem.

ἢ βούλευσιν ὀρεκτικὴν τῶν ἐφ' ἡμῖν] abſunt. D. 1. Con.

ἔφαμεν περὶ ταὐτὰ εἶναι] ταῦτα, loco ταὐτά. D. 1. A. 2. ἔφημεν, omiſſis καὶ ταὐτὰ εἶναι. A. 3. Mox διασαφήσομεν. D. 1. In fine deeſt, καὶ περὶ τίνων βουλευόμεθα. Con.

ΚΕΦ. ΛΔ΄. 134

ΠΕΡΙ ΤΙΝΩΝ ΒΟΥΛΕΥΟΜΕΘΑ.

Πρὶν εἰπεῖν, περὶ τίνων βουλευόμεθα, βέλτιον διορίσαι, τίνι διαφέρει βουλὴ ζητήσεως. οὐ γὰρ ταὐτόν ἐστι βουλὴ καὶ ζήτησις, εἰ καὶ ὁ βουλευόμενος, ζητῶν τι, βουλεύεται· ἀλλὰ πολὺ διαφέρει. ζητοῦμεν γὰρ, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος· οὐδεὶς δὲ λέγει· βουλεύομαι, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος. ἔστι γὰρ ἡ ζήτησις, γένος τῆς βουλῆς. καὶ γὰρ ἐπὶ πλέον λέγεται. πᾶσα μὲν γὰρ βουλὴ, ζήτησίς τις ἐστίν· οὐ πᾶσα δὲ ζήτησις, βουλή. δέδεικται δὲ

VAR. LECT. ET ANIMADV.

Cap. 34. Index idem. A. 1. 3. a man. rec. A. 2. Sic, ſed λγ. D. 1. Loco κεφ. λδ. eſt λόγος δεύτερος. M. 1. Quibus de rebus conſultemus. cap. 33. Vall. Cono incipit libri 5. cap. 5. De conſilio et de quibus rebus conſultemus.

πρὶν εἰπεῖν περὶ τίνων] καὶ in principio addit D. 1.

βουλὴ ζητήσεως] poſt haec tria aut quatuor vocabula deleta. Forte omiſſis non nullis ſtatim ſubjecerat proxima, εἰ καὶ ὁ βουλ. D. 1. ab οὐ γὰρ ad ζήτησις abſunt. A. 3. ὁ, ante βουλευόμενος, abeſt. M. 1.

ζητῶν τί βουλεύεται] βούλεται, loco βουλεύεται. A. 3.

ἀλλὰ πολὺ διαφέρει] ο in πολὺ ex correct. rec. D. 1.

τῆς γῆς ὁ ἥλιος] His addit: οὐδεὶς δὲ λέγει, βουλευόμεθα, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος. D. 1. οὐδεὶς δὲ λέγει, βουλεύομαι, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος. Ox. A. 1. 3. Sic, omiſſo δέ. A. 2. Sic et Cono. Sed, *conſultabo*. Etiam Valla, qui *conſulto* habet. Habet etiam Ellebodius in verſione. Ergo in Graeco iſtius editionis culpa typothetarum exciderant. Mox deeſt ἡ, ante ζήτησις. A. 1.

ζήτησίς τις ἐστὶν] τις abeſt. A. 1. 2. Vall.

δέδεικται δὲ τοῦτο κ. τ. λ.] Haec mihi non videntur cohaerere ac praeterea otioſa eſſe. Conjicio: δέδεικται (ſeu, δείκνυται) δὲ τοῦτο καὶ ἐπὶ τοῦ σκέπτεσθαι, ποτὲ μὲν ἐπὶ τοῦ βουλεύεσθαι λεγομένου, ὡς σκέπτομαι.

τοῦτο. τὸ δὲ σκέπτεσθαι ποτὲ μὲν ἐπὶ τοῦ βουλεύεσθαι
λέγομεν, ὡς σκέπτομαι, εἰ δεῖ πλεῦσαι· ποτὲ δὲ, ἐπὶ τοῦ
κατανοεῖν, ὡς σκέπτομαι τὰ μαθήματα, οὐ βουλεύομαι τὰ
μαθήματα. ταρασσόμεθα δὲ πολλάκις, ἀδιακρίτως ἀκού-
οντες τῶν ὀνομάτων, νομίζοντες ταὐτὸν τὸ μὴ ταὐτόν. τῆς
οὖν διαφορᾶς τούτων φανερᾶς γενομένης, ῥητέον λοιπὸν,
περὶ τίνων βουλευόμεθα. βουλευόμεθα οὖν περὶ τῶν ἐφ'
ἡμῖν καὶ δι' ἡμῶν δυναμένων γενέσθαι, καὶ ἄδηλον ἐχόντων
τὸ τέλος, τουτέστι, δυναμένων καὶ οὕτως καὶ ἄλλως γε-
νέσθαι. τὸ μὲν οὖν ἐφ' ἡμῖν εἴρηται, ἐπειδὴ περὶ τῶν
πρακτῶν μόνον βουλευόμεθα. ταῦτα γὰρ ἐφ' ἡμῖν. οὐ
γὰρ περὶ τῆς θεωρητικῆς καλουμένης φιλοσοφίας βουλευό-
μεθα. οὔτε γὰρ περὶ Θεοῦ, οὔτε περὶ τῶν ἐξ ἀνάγκης
γινομένων· ἐξ ἀνάγκης δὲ λέγω, τὰ ἀεὶ ὡσαύτως γινόμενα,
135 οἷον, τοῦ κύκλου τοῦ ἐνιαυτοῦ· οὔτε περὶ τῶν οὐκ ἀεὶ μὲν
ὄντων, ἀεὶ δὲ ὁμοίως γινομένων, οἷον, δύσεως καὶ ἀνατο-

VAR. LECT. ET ANIMADV.

ἐπὶ τοῦ βουλεύεσθαι] ἐπὶ τὸ βουλεύεσθαι. D. 1. Mox deest, οὐ βουλεύομαι τὰ μαθήματα. Con. Loco prioris μαθήματα habet μαθητά. M. 1.

νομίζοντες ταὐτὸν] ταὐτόν. abest. A. 2.

ῥητέον λοιπὸν] λοιπὸν abest. A. 3.

καὶ ἄδηλον] καὶ ἀδήλων. Ox.

τουτέστι] ante hoc deleta sunt haec: τουτέστι δυναμένων γενέσθαι καὶ ἄδηλον ἐχόντων τὸ τέλος. Haec enim per errorem repetierat scriba. D. 1. Post τουτέστι interponit δι' ἡμῶν. Ox.

καὶ ἄλλως] καὶ a man. rec. insertum. D. 1.

πρακτέων μόνων βουλευόμεθα] πρακτῶν μόνον βουλ. A. 1. 2. πρακτῶν habet etiam A. 3. Ox. μόνον habet D. 1. Con. Vall. περὶ τούτων τῶν πρακτέων. M. 1.

καλουμένης] λεγομένης. D. 1. A. 3. Paullo post, *annorum cyclos.* Con.

ἐνιαυτοῦ] post hoc addit: οὔτε περὶ τοῦ κύκλου ἐνιαυτοῦ. M. 1.

οὐκ ἀεὶ μὲν ὄντων] οὐκ ἀεὶ μὴ ὄντων. A. 3. οὐκ abest. D. 1. μενόντων, loco μὲν ὄντων. A. 1. 2. Mox iidem ὁμοίων. γιγνομένων, omisso ὁμοίως. A. 3. Paullo post idem: γινομένων ὁμοίως. Cono: *Quae non semper manent.* Valla: *Quae semper manent.* Aristot. Eth. ad Nicomach. III,

λῆς ἡλίου, οὔτε περὶ τῶν Φύσει μὲν, οὐκ ἀεὶ δὲ ὁμοίως γινομένων, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον, οἷον, περὶ τοῦ πολιοῦσθαι τὸν ἑξηκοντούτην ἢ γενειάσκειν τὸν εἰκοσαετῆ· ἀλλ' οὐδὲ περὶ τῶν Φύσει μὲν, ἄλλοτε δὲ ἄλλως ἀορίστως γινομένων, οἷον, περὶ ὄμβρων ἢ αὐχμῶν, ἢ χαλάζης· ἀλλ' οὐδὲ περὶ τῶν ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἅπερ ἐστὶ τῶν ἐπ' ἔλαττον ἐνδεχομένων. διὰ ταῦτα μὲν οὖν, τὸ ἐφ' ἡμῖν, εἴρηται· τὸ δὲ, δι' ἡμῶν, ἐπειδήπερ οὐ περὶ πάντων ἀνθρώπων, οὐδὲ περὶ παντὸς πράγματος βουλευόμεθα, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μόνον καὶ δι' ἡμῶν γινομένων. οὐ γὰρ βουλευόμεθα, πῶς οἱ πολέμιοι ἢ οἱ μακρὰν ἀπῳκισμένοι καλῶς πολιτεύοιντο· καίτοι τοῦτο παρ' ἐκείνοις βουλευτόν ἐστιν.

VAR. LECT. ET ANIMADV.

III, 3. οὐδὲ περὶ τῶν ἐν κινήσει, ἀεὶ δὲ κατὰ τὰ αὐτὰ γινομένων. — οἷον, τροπῶν καὶ ἀνατολῶν.

ἑξηκοντούτην ἢ γενειάσκειν τὸν εἰκοσαετῆ· ἀλλ' οὐδὲ περὶ] ἑξηκουντούτην et γενιάσκειν et εἰκοσαέτη exhibet D. 1. ἀλλ' omittit A. 2. Dicitur ἑξηκονταετής et ἑξηκοντούτης, eſtque tertiae declinationis. Vide Suidam in τριακονταετὴς et τριακοντούτης. In Etymologico magno autem monetur, Athenienſes iſta vocabula flectere, ut οἰκέτης, οἰκέτου, οἰκέται. Vide in τριακοντούτης. M. 1. habet: ἑξηκοντοῦτον ἢ γενειαστήν. Loco γενειάσκειν, vitioſe γειράσκειν. A. 3.

ἄλλοτε δὲ] δὲ abeſt. A. 2.

περὶ αὐχμῶν] ἢ αὐχμῶν. D. 1. A. 1. 3. Vall. καὶ αὐχμῶν. A. 2. Paullo poſt γίνεσθαι, ante λεγομένων abeſt. A. 3.

ἅπερ ἐστὶ τῶν ἐπ' ἔλαττον ἐνδεχομένων] quibus magis minusque contingit. Vall. Mox, εἴρηται περὶ τῶν πρακτῶν. τὸ δὲ δι' ἡμῶν ἐπειδὴ οὐ. A. 3.

ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν γινομένων μόνων] abſunt. A. 1. 2. Vall. ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μόνων καὶ δι' ἡμῶν γινομένων. D. 1. Sic, ſed μόνον. A. 3. Hoc probavi. Cono habet: Quae in nobis ſolum fiunt. Sic mox eſt: ἐφ' ἡμῖν καὶ δι' ἡμῶν.

πῶς οἱ πολέμιοι κ. τ. λ.] Cono: quo pacto aliena praelia committantur, vel ſi feliciter agant longe a nobis habitantes. Valla convenit cum Graeco.

ἢ οἱ μακρὰν] ἢ εἰ οἱ μακράν. A. 1. 2. ἢ εἰ οἱ μακρὰν ἡμῶν ἀπῳκ. D. 1. ἢ abeſt. A. 3. Mox: idem: πολιτεύοιντο ἂν, καὶ τοῦτο. Et poſt πάντων, omittit τῶν.

ἀλλ' οὐδὲ περὶ πάντων τῶν δι' ἡμῶν γινομένων, καὶ ἐφ' ἡμῖν ὄντων βουλευόμεθα· ἀλλὰ δεῖ προςκεῖσθαι καὶ τὸ, ἄδηλον ἐχόντων τὸ τέλος. ἐὰν γὰρ ᾖ φανερὸν καὶ ὁμολογούμενον, οὐκ ἔτι βουλευόμεθα. οὐδὲ γὰρ περὶ τῶν κατ' ἐπιστήμην ἢ τέχνην ἔργων ἢ πράξεων ἡ βουλή. ὡρισμένοι γὰρ τούτων οἱ λόγοι, πλὴν ὀλίγων τεχνῶν, τῶν καλουμένων στοχαστικῶν, οἷον, ἰατρικῆς, καὶ γυμναστικῆς, καὶ κυβερνητικῆς. οὐ περὶ τούτων γὰρ βουλευόμεθα μόνον, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μὲν καὶ δι' ἡμῶν, ἄδηλον δὲ τὸ τέλος ἐχόντων καὶ δυναμένων καὶ οὕτως καὶ ἄλλως πραχθῆναι.
136 ἐδείχθη δὲ, ὡς οὐδὲ περὶ τοῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος ἡ βουλή. βουλευόμεθα γὰρ, οὐ πλουτῆσαι, ἀλλ' ὅπως καὶ δι' ὧν πλουτήσωμεν· συνελόντι δὲ εἰπεῖν, περὶ τούτων μόνων βουλευόμεθα, περὶ τῶν ἐπίσης ἐνδεχομένων.

VAR. LECT. ET ANIMADV.

ἐφ' ἡμῖν ὄντων] ἡμῶν, loco ἡμῖν. M. 1. Mox post φανερὸν abest καί. A. 3.

οὔτε γὰρ περὶ τῶν κατ' ἐπιστήμην] οὐδὲ, loco οὔτε. D. 1. τῆς, ante τῶν, addit A. 1. Sic etiam A. 2. ſed mox τέχνης.

στοχαστικῶν] σχολαστικῶν. D. 1.

οὐ περὶ τούτων γὰρ βουλευόμεθα μόνον] omiſſo οὐ, habet μόνων. D. 1. Ab οὐ περὶ τούτων ad πραχθῆναι mihi ſuperflua ac tautologica videntur. Nihil enim hic additur, quod non ſit dictum antea. Eadem dubitatio manet, etiamſi τούτων referatur ad ἰατρικῆς et reliqua. Quis enim credat, homines de his ſolis deliberare? Γὰρ vero prorſus alienum eſt. Saltem corrigendum δέ. Locus ſimilis de artibus et diſciplinis eſt apud Ariſtot. Eth. ad Nicomach. III, 3. ubi ἰατρικὴ, χρηματιστικὴ, κυβερνητικὴ et γυμναστικὴ memoratur.

ἄδηλον δὲ] ἄδηλον γάρ. M. 1.

πραχθῆναι] προαχθῆναι. D. 1.

ἐδείχθη] Hoc demonſtratum eſt, additis in definitione vocabulis, ἄδηλον ἐχόντων τὸ τέλος. Mox: ὡς οὐ περί. A. 3.

πλουτῆσαι] πλουτεῖν. M. 1.

δι' ὧν πλουτήσωμεν] δι' ὧν πλουτήσομεν. D. 1. A. 3.

περὶ τῶν ἐπίσης] περὶ malim tollere.

καὶ περὶ τούτου δεῖ διαλαβεῖν, ἵνα μηδὲν ἐλλείπη τῷ λόγῳ πρὸς σαφήνειαν.. δυνάμεις δὲ λέγονται, καθ' ἃς δυνάμεθά τι ποιεῖν. παντὸς γὰρ, οὗ ποιοῦμεν, δύναμιν ἔχομεν· ὧν δὲ δύναμιν οὐκ ἔχομεν, τούτων οὐδὲ τὰς πράξεις. ἔχεται οὖν ἡ μὲν πρᾶξις δυνάμεως, ἡ δὲ δύναμις οὐσίας· ἦτε γὰρ πρᾶξις ἀπὸ δυνάμεως, καὶ ἡ δύναμις, ἀπὸ τῆς οὐσίας, καὶ ἐν οὐσίᾳ. τρία οὖν ταῦτά ἐστιν, ὡς ἔφαμεν, ἀλλήλων ἐχόμενα, δυνάμενον, δύναμις, δυνατόν. δυνάμενον μὲν, ἡ οὐσία· δύναμις δὲ, ἀφ' ἧς ἔχομεν τὸ δύνασθαι· δυνατὸν δὲ, τὸ κατὰ δύναμιν πεφυκὸς γίγνεσθαι. τῶν δὲ δυνατῶν, τὰ μέν ἐστιν ἀναγκαῖα, τὰ δὲ ἐνδεχόμενα. ἀναγκαῖα μὲν, ἅπερ ἀδύνατον κωλυθῆναι, ἢ ὧν καὶ τὸ ἀντικείμενον ἀδύνατόν ἐστιν· ἐνδεχόμενον δὲ, τὸ δυνάμενον κωλυθῆναι, ἢ οὗ, καὶ τὸ ἀντικείμενον δυνατόν ἐστιν. οἷον, ἀναγκαῖόν ἐστιν, ἀναπνεῖν ἄνθρωπον ζῶντα· τούτου καὶ τὸ ἀντικείμενον ἀδύνατόν ἐστι, τὸ μὴ ἀναπνεῖν ζῶντα· ἐνδεχόμενον δὲ, τὸ σή-

VAR. LECT. ET ANIMADV.

καὶ περὶ τούτων δεῖ] τούτου, loco τούτων. D. 1. A. 1. 2. Con. Ab καὶ ad διαλαβεῖν Valla reddidit: et quae divisim oporteat conjectare.

ἐκλίπῃ] ἐλλείπῃ. D. 1. A. 3. λείπῃ. A. 1. 2. ἐλλίπῃ. M. 1. *Desit*. Con. Mox, δυνάμεις δὲ λέγονται. A. 2.

καθ' ἃς δυνάμεθα ποιεῖν] τι, ante ποιεῖν, addit A. 1. 2. 3. Con. Vall.

ἔχεται] ἔχετε. A. 2. Mox, δυνάμεως ἡ δὲ δύναμις οὐσίας καὶ ἡ δύναμις ἀπὸ τῆς, reliquis omissis. A. 2.

ἀφ' ἧς ἔχομεν τὸ δύνασθαι] ἐφ' ἧς ἔχομεν δύνασθαι. M. 1.

τὸ κατὰ δύναμιν πεφυκὸς γενέσθαι] τὸ πεφυκὸς κατὰ δύναμιν γίγνεσθαι. D. 1. Solum γίνεσθαι mutant A. 1. 2. Pro eo habet γίνεται A. 3.

τὸ δυνάμενον κωλυθῆναι usque ad σήμερον] absunt. M. 1.

ἢ ὧν καὶ τὸ ἀντικείμενον] ἢ ὧνπερ τὸ ἀντικείμενον. D. 1. Mox, δυνατόν. A. 2. 3.

ἢ ὧν καὶ τὸ ἀντικείμενον] οὗ, loco ὧν. D. 1. Vall. Mox omittit ἐστὶ D. 1. A. 3.

ἀναπνεῖν ἄνθρωπον] ἄνθρωπον ἀναπνεῖν. A. 3. inter haec legitur τὸν, sed a rec. punctis et linea deletum. Paullo ante etiam post οἷον est rasura duarum aut trium litterarum. D. 1.

μερον ὄμβρον γενέσθαι· ἀλλὰ καὶ τὸ ἀντικείμενον αὐτῷ δυνατὸν, τὸ μὴ γενέσθαι σήμερον ὄμβρον. πάλιν δὲ τῶν ἐνδεχομένων τὰ μὲν, ὡς ἐπὶ πολὺ λέγεται, τὰ δὲ, ὡς ἐπ'
137 ἔλαττον, τὰ δὲ, ὡς ἐπίσης. ἐπὶ πολὺ μεν, ὡς τὸν ἑξηκοντούτην πολιοῦσθαι· ἐπ' ἔλαττον δὲ, ὡς τινα ἑξηκονταετῆ μὴ πολιοῦσθαι· ἐπίσης δὲ, τὸ περιπατῆσαι καὶ μὴ περιπατῆσαι, καὶ ἁπλῶς πρᾶξαί τι καὶ μὴ πρᾶξαι. περὶ τούτων οὖν, τῶν ἐπίσης ἐνδεχομένων, μόνον βουλευόμεθα. ἔστι δὲ ἐπίσης ἐνδεχόμενον, ὃ αὐτό τε δυνάμεθα καὶ τὸ ἀντικείμενον αὐτῷ· εἰ γὰρ μὴ ἀμφότερα ἐδυνάμεθα, αὐτό τε καὶ τὸ ἀντικείμενον, οὐκ ἂν ἐβουλευόμεθα. οὔτε γὰρ περὶ τῶν ὁμολογουμένων, οὔτε περὶ τῶν ἀδυνάτων τὶς βουλεύεται. εἰ δὲ τὸ ἕτερον μόνον τῶν ἀντικειμένων ἐδυνάμεθα, τοῦτο μὲν ἦν ὁμολογούμενον καὶ οὐδαμῶς ἀμφίβολον· τὸ δὲ ἀντικείμενον, ἀδύνατον.

VAR. LECT. ET ANIMADV.

ἀντικείμενον αὐτῷ δυνατὸν] αὐτῷ abest. A. 2. Mox, τὸ μὴ γενέσθαι σήμερον ὄμβρον omittit Vall.

πάλιν δὲ τοῦ ἐνδεχομένου] *Contingentium.* Con. Ergo τῶν ἐνδεχομένων. Sic et Ellebodius. Ergo correxi. Sed Valla, *contingentis.* Mox omittit ὡς. A. 3.

τὰ δὲ ὡς ἐπίσης] ἢ ἐπίσης. A. 3.

ἐξηκονταετῆ] ἑξηκονταέτη. D. 1. ἑξηκοντούτην et supra scriptum ἑξηκονταετῆ. A. 2. ἑξηκονταετὴ (sic) A. 3. Mox deest: καὶ μὴ περιπατῆσαι. M. 1.

ἐνδεχομένων μόνον] μόνον abest. D. 1. M. 1. A. 3. Ejus loco μόνων. A. 2. Mox ἔστιν οὖν ἐπίσης. A. 3. et, plurali numero ἐνδεχόμενα, ἃ αὐτὰ — καὶ τὰ ἀντικείμενα. Con. Sed Valla singulari numero.

ἀμφότερα ἐδυνάμεθα] ἀμφ. δυνάμεθα. D. 1. Mox: οὐκ ἐβουλευόμεθα. A. 3.

ὁμολογουμένων] *necessariis.* Con. *De jam receptis exploratisque.* Vall.

εἰ δὲ τὸ ἕτερον] εἴτε, loco εἰ δέ. A. 3.

ἐδυνάμεθα, τοῦτο μὲν] inserta a man. rec. D. 1. Paullo ante μόνων, loco μόνον. M. 1.

ΚΕΦ. ΛΕ΄.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ.

Οἱ τῇ περιφορᾷ τῶν ἄστρων τὴν αἰτίαν τῶν γινομένων πάντων ἐπιγράφοντες, οὐ μόνον ταῖς κοιναῖς ἐννοίαις ἀπομάχονται· ἀλλὰ καὶ πᾶσαν πολιτείαν ἄχρηστον ἀποφαίνουσιν. ἄτοποι μὲν γὰρ οἱ νόμοι, περιττὰ δὲ τὰ δικαστήρια κολάζοντα τοὺς μηδὲν αἰτίους, παράλογοι δὲ οἱ ψόγοι καὶ οἱ ἔπαινοι· ἀνόνητοι δὲ καὶ αἱ εὐχαὶ, πάντων καθ' εἱμαρμένην γινομένων· ἐξορίζεται δὲ καὶ πρόνοια μετὰ τῆς εὐσεβείας, πρὸς τῷ καὶ τὸν ἄνθρωπον ὄργανον μόνον εὑρίσκεσθαι τῆς ἄνωθεν περιφορᾶς· ὑπὸ ταύτης γὰρ κινεῖσθαι πρὸς

VAR. LECT. ET ANIMADV.

Cap. 35. Index: ut in edito A. 3. περὶ εἱμαρμένης et ex correct. εἱμ. λδ. D. 1. Hic incipit et indicem habet: νεμεσίου ἐπισκόπου ἐμέσης περὶ εἱμαρμένης. D. 2. περὶ τῆς διὰ τῶν ἄστρων εἱμαρμένης. λε. A. 1. περὶ εἱμαρμένης λθ. a man. rec. A. 2. Loco κεφ. λε. habet λόγος τρίτος. Praeterea in marg. legitur: τὰ ἑπόμενα πάντα περιττεύει, ἐκ τῶν νεμεσίου περὶ εἱμαρμένης μεταγεγραμμένα. M. 1. Ab hoc capite incipit etiam M. 2. Cono incipit librum 6. De fato. Cap. 1. Disputat contra fatum Stoicorum. Valla: De fato cap. 34.

γινομένων πάντων] πάντα. M. 1. Sic, sed correctum πάντον. M. 2.

δικαστήρια κολάζοντα] κολαστήρια κολάζοντα. D. 2. A. 3. Ante κολάζοντα addiderim τά. Paullo ante: ἀποφαίνονται. ἄτοπον. A. 3.

τοὺς ἀναιτίους] τοὺς μηδὲν αἰτίους. A. 1. 2. 3. D. 2. τοὺς εἰς μηδὲν αἰτίους. D. 1. Homines in his, quorum ipsi non sunt causa. Con. *Insontes*, solum. Vall.

ἀνόνητοι δὲ καὶ αἱ εὐχαὶ] ἀνόητοι, loco ἀνόνητοι. M. 1. D. 2. Con. Vall. In M. 2. ν supra scriptum. αἱ abest. A. 1. Non solum δὲ et αἱ hic omittit, sed paullo ante etiam οἱ, ante ψόγοι et ἔπαινοι. A. 3.

καθ' εἱμαρμένην] apostrophus et spiritus asper a man. rec. D. 1. καθ' εἱμαρμένην. D. 2. καὶ καθ' εἱμαρμένην. A. 3.

πρὸς τῷ καὶ τὸν ἄνθρωπον] τὸ, loco τῷ. A. 2. M. 1. 2. Hoc loco Valla prorsus aberravit.

μόνον εὑρίσκεσθαι] μόνον abest. A. 1.

138 τὰς πράξεις, οὐ μόνον τὰ μέρη τοῦ σώματος, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς διανοήματα· καὶ ὅλως, οἱ ταῦτα λέγοντες, τῷ ἐφ' ἡμῖν συναναιροῦσι καὶ τὴν τοῦ ἐνδεχομένου φύσιν· καὶ οὕτως οὐδὲν ἄλλο, ἢ τῷ παντὶ λυμαίνονται. ἄδικοι δὲ καὶ αὐτοὶ οἱ ἀστέρες, τοὺς μὲν μοιχοὺς, τοὺς δὲ φονέας ἀπεργαζόμενοι· καὶ πρόγε τούτων ὁ δημιουργὸς αὐτῶν θεὸς τὴν αἰτίαν αὐτῶν ἀποφέρεται, εἰ τοιαῦτα κατεσκεύασεν, ἃ τῶν κακῶν ἡμῖν τὴν ἐπιφορὰν ἐξ ἀνάγκης ἐπιτίθησιν· ὡς μὴ μόνον ἐπὶ τῆς πολιτείας ἵστασθαι τὴν τούτων ἀτοπίαν, ἀλλὰ καὶ τῶν μεγίστων κακῶν αἴτιον ἀποφαίνειν τὸν θεὸν, πρὸς τῷ καὶ ἀδύνατον ἀποδείκνυσθαι τὴν ὑπόθεσιν αὐτῶν. ἀλλὰ ταῦτα μὲν οὔτε ἀκούειν ἀναγκαῖον, πρόδηλον ἔχοντα τὴν βλασφημίαν καὶ τὴν ἀτοπίαν. οἱ δὲ λέγοντες, ὅτι

VAR. LECT. ET ANIMADV.

τῷ ἐφ' ἡμᾶς] τὸ ἐφ' ἡμᾶς. A. 3.

τὰ μέρη τοῦ σώματος] μέλλη, loco μέρη. Voluit μέλη. D. 2. Mox, διανοημένα, loco διανοήματα. M. 1.

λέγοντες, τῷ ἐφ' ἡμῖν] τὸ, loco τῷ. D. 2. A. 2.

οὐδὲν ἄλλο ἢ — λυμαίνονται] Id eſt, οὐδὲν ἄλλο, intellige ποιοῦσιν, ἢ λυμαίνονται. Nam ποιεῖν ſaepe intelligitur. Ita Demoſth. p. 78. verſ. 12. οὐδὲν ἄλλο (intell. ποιεῖ.) ἢ χλευάζει ὑμᾶς. *Agunt* interpoſuit Vall. Mox οἱ ante ἀστέρες omittit M. 2.

αἰτίαν ἀποφέρεται] αἰτίαν αὐτῶν ἀποφέρεται. A. 1. 2. *Omnem ab ipſis cauſam aufert.* Vall. ὁ δημιουργὸς omittit M. 1. ἐπιφέρεται habent M. 1. 2.

ἵστασθαι] ſpiritus aſper a man. rec., antea lenis. D. 1.

ἀποφαίνειν αἴτιον] αἴτιον ἀποφαίνεσθαι. D. 1. A. 3. αἴτιον ἀποφαίνειν. D. 2. A. 1. 2. ἀποφαίναι. Sic, loco ἀποφαίνειν. M. 2.

πρὸς τῷ καὶ ἀδύνατον] τῷ ex correct., antea τό. D. 1.

ἀποδείκνυσθαι τὴν ὑπόθεσιν] ἐπιδείκνυσθαι τὴν ἐνέργειαν. M. 1. 2.

οὔτε ἀκούειν] οὐδὲ a primo, ex correct. rec. οὔτε. D. 1.

ἀνασχετὸν] ἀνασχετέον ἢ ἀναγκαῖον. D. 1. ἀνασχετέον. M. 1. ἀναγκαῖον ſolum habent D. 2. A. 1. 2. Vall. Ἀνασχετὸν explicandi cauſſa additum puto. Mox, τὴν βλασφημίαν καὶ τὴν ἀτοπίαν. D. 1. 2. A. 1. 2. 3. Con. Deteſtationem atque *abominationem.* Vall.

καὶ τὸ ἐφ' ἡμῖν καὶ τὸ καθ' εἱμαρμένην σώζεται· (ἑκάστῳ γὰρ τῶν γενομένων δεδόσθαι τι καθ' εἱμαρμένην, ὡς τῷ ὕδατι τὸ ψύχειν, καὶ ἑκάστῳ τῶν φυτῶν τὸ τοιόνδε καρπὸν φέρειν, καὶ τῷ λίθῳ τὸ κατωφερὲς, καὶ τῷ πυρὶ τὸ ἀνωφερὲς, οὕτω καὶ τῷ ζώῳ τὸ συγκατατίθεσθαι καὶ ὁρμᾷν· ὅταν δὲ ταύτῃ τῇ ὁρμῇ μηδὲν ἀντιπέσῃ τῶν ἔξωθεν καὶ καθ' εἱμαρμένην, τότε τὸ περιπατεῖν τέλεον ἐφ' ἡμῖν εἶναι, καὶ πάντως περιπατήσομεν·) οἱ ταῦτα λέγοντες, εἰσὶ δὲ τῶν στωϊκῶν, Χρύσιππός τε καὶ Φιλοπάτωρ, καὶ ἄλλοι πολλοὶ καὶ λαμπροὶ, οὐδὲν ἕτερον ἀποδεικνύουσιν, ἢ

VAR. LECT. ET ANIMADV.

ὅτι καὶ τὸ ἐφ'] καὶ abeſt. D. 2.

καθ' εἱμαρμένην] ſpiritus aſper a man. rec. D. 1. καθ' εἰμαρμένην. D. 2. Et ſic poſtea D. 1. modo ex correct. habet εἱμαρμ. modo a prima man. εἱμαρ. Sed D. 2. a manu prima εἰμαρ.

σώζεται] σώζεσθαι. D. 2. γίνεται. D. 1. Mox, τῶν γενομένων. D. 1. 2. A. 1. 2. Mox: καὶ ἑκάστῳ τῶν φυτῶν τὸν τοιόνδε. A. 3.

καὶ τῷ πυρὶ τὸ ἀνωφερὲς] abſunt. A. 2. Con. Mox τῷ ζώῳ ex correct. rec., antea τό. D. 1. Proximum συγκατατίθεσθαι Cono reddidit, *quiescere:* Valla, *reſidere.* Ac ſi legerint καθῆσθαι. Ita autem videntur *expoſuiſſe,* quod mox eſt ὁρμᾷν et περιπατεῖν. At enim vero ὁρμὴ eſt ἐκ συγκαταθέσεως προαιρέσεως καὶ βουλήσεως. Ergo συγκατατίθεσθαι non eſt alienum ab hoc loco. Accedit, quod iſti duo interpretes hoc vocabulum alibi etiam in hoc libello inepte reddiderunt.

ὅταν δὲ ταύτῃ τῇ ὁρμῇ] ὅταν δὲ καὶ ταύτην τὴν ὁρμήν. D. 2. Forte κατὰ, loco καὶ, voluit.

τέλεον] τέλειον. D. 2. A. 3. Mox, καὶ πάντως περιπατήσομεν. abſunt. Con. καὶ πάντως περιπατήσωμεν. οἱ ταῦτα γοῦν λέγοντες. A. 3.

στωϊκῶν] Sic, ſed ſupra ex correct. ω. D. 1. στωϊκῶν. D. 2. Chryſippum et alios in hanc rem laudat Diog. Laërt. p. 288. Eo loco motus Menagius mavult hic legere ἀντίπατρος, loco φιλοπάτωρ. Vide eum ad Diog. Laërt. p. 287. De Chryſippo vid. Euſeb. Praep. Evang. p. 262. ſeqq.

ἀποδεικνύουσιν] ἀποδεικνύντες. D. 2. ἀποφαίνουσι. A. 1. ἀποδεικνύοντες. A. 2.

139 πάντα καθ᾽ εἱμαρμένην γίνεσθαι. εἰ γὰρ καὶ τὰς ὁρμὰς παρὰ τῆς εἱμαρμένης φασὶν ἡμῖν δεδόσθαι, καὶ ταύτας ποτὲ μὲν ἀπὸ τῆς εἱμαρμένης ἐμποδίζεσθαι, ποτὲ δὲ μή· δῆλον, ὡς πάντα καθ᾽ εἱμαρμένην γίνεται καὶ τὰ δοκοῦντα ἐφ᾽ ἡμῖν εἶναι. καὶ πάλιν τοῖς αὐτοῖς λόγοις χρησόμεθα πρὸς αὐτοὺς, δεικνῦντες τῆς δόξης τὴν ἀτοπίαν. εἰ γὰρ τῶν αὐτῶν αἰτίων περιεστηκότων, ὥς φασιν αὐτοὶ, πᾶσα ἀνάγκη, τὰ αὐτὰ γίνεσθαι, καὶ οὐχ οἷόν τε, ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἄλλως γενέσθαι, διὰ τὸ ἐξ αἰῶνος οὕτως ἀποκεκληρῶσθαι αὐτά· ἀνάγκη καὶ τὴν ὁρμὴν τὴν τοῦ ζώου πάντῃ καὶ πάντως τῶν αὐτῶν αἰτίων περιεστηκότων οὕτω γενέσθαι·

VAR. LECT. ET ANIMADV.

φασὶν ἡμῖν] φησὶν ἡμῖν. D. 1. ἡμῖν φησί. D. 2. Mox, καὶ ταύτας μὲν ποτέ. D. 2. καὶ ταύτας ἀπὸ τῆς εἱμαρμένης ποτὲ μὲν ἐμποδ. A. 1. Ab ἡμῖν δεδόσθαι ad εἱμαρμένης proximum, abſunt. Vall. Mox: ὡς ἅπαντα. A. 3.

καθ᾽ εἱμαρμένην γίνεται] γίνεσθαι, loco γίνεται. D. 2.

καὶ πάλιν δὲ τοῖς αὐτοῖς] δὲ abeſt. D. 1. 2. A. 1. 2. 3. Con. καὶ omittit Vall. Mox χρησώμεθα. A. 2. χρησάμεθα. A. 3.

δεικνύοντες] δεικνῦντες. D. 1. 2. A. 2. 3. δεικνύντες. A. 1. Mox ἡδονῆς, loco δόξης. M. 1. 2.

ἀτοπίαν] ex correct. antea αἰτίαν. D. 1.

αἰτιῶν] αἰτίων. D. 2. Ita corrigendum, quod mox huc refertur αὐτὰ ſeu ταῦτα. Dicitur enim tam αἴτιον, quam αἰτία.

οἷόν τε ποτὲ] τὸ, loco τε. D. 2. Mox: ποτὲ μὲν οὕτω, ποτὲ δὲ οὕτω, ποτὲ δὲ ἄλλως. A. 3.

αἰῶνος ἀποκεκληρῶσθαι ταύτας] αἰῶνος οὕτως ἀποκεκληρῶσθαι αὐτά. D. 1. 2. αὐτὰ habet etiam A. 3. αἰῶνος οὕτως ἀποκεκληρῶσθαι ταῦτα. A. 1. 2. Ergo Codices omnes hic probant αἰτίων. Nam ταύτας referri debuerit ad αἰτιῶν, ab αἰτία. Eodem modo legit Cono, ſed non ad cauſſas, (αἴτια) verum ad res (πράγματα) retulit, hoc modo: eo, quod a ſeculo *ita* ſorte *determinata* ſunt *haec*. Valla etiam: *haec ita ſancita ſunt.*

ὁρμὴν τὴν τοῦ ζώου] τὴν abeſt. D. 2.

πάντῃ τε καὶ πάντως] τε abeſt. D. 1. 2. A. 1. 2. Mox αἰτίων. D. 2.

εἰ δὲ καὶ ἡ ὁρμὴ ἐξ ἀνάγκης ἐπακολουθεῖ, ποῦ λοιπὸν τὸ
ἐφ' ἡμῖν; ἐλεύθερον γὰρ εἶναι δεῖ τὸ ἐφ' ἡμῖν· ἦν δ' ἂν
ἐλεύθερον, εἰ τῶν αὐτῶν περιεστηκότων, ἐφ' ἡμῖν ἦν τὸ
ποτὲ μὲν ὁρμᾷν, ποτὲ δὲ μὴ ὁρμᾷν. εἰ δὲ ἐξ ἀνάγκης
ἐπακολουθεῖ καὶ τὸ ὁρμᾷν, δῆλον, ὡς καθ' εἱμαρμένην καὶ
τὰ τῆς ὁρμῆς γενήσεται, εἰ καὶ ὑφ' ἡμῶν γίνεται καὶ κατὰ
τὴν ἡμετέραν φύσιν καὶ ὁρμὴν καὶ κρίσιν. εἰ γὰρ οἷόν τε
ἦν αὐτὴν καὶ μὴ γενέσθαι, ψευδὴς ἂν ἦν ἡ πρότασις ἡ λέ-
γουσα, ὅτι τῶν αὐτῶν περιεστηκότων αἰτίων, ἀνάγκη τὰ
αὐτὰ ἕπεσθαι. οὕτω δὲ καὶ ἐπὶ τοῖς ἀλόγοις καὶ ἐπὶ τοῖς
ἀψύχοις εὑρεθήσεται. εἰ γὰρ τὴν ὁρμὴν ἐφ' ἡμῖν τάττου-
σιν, ὅτι φύσει ταύτην ἔχομεν, τί κωλύει, καὶ ἐπὶ τῷ
πυρὶ λέγειν εἶναι τὸ καίειν, ἐπειδὴ φύσει καίει τὸ πῦρ; ὥς 140
που καὶ παρεμφαίνειν ἔοικεν ὁ Φιλοπάτωρ ἐν τῷ περὶ εἱμαρ-
μένης. οὐκ ἄρα τὸ δι' ἡμῶν ὑπὸ τῆς εἱμαρμένης γινόμενον
ἐφ' ἡμῖν ἐστι. τῷ γὰρ αὐτῷ λόγῳ καὶ ἐπὶ λύρᾳ καὶ

VAR. LECT. ET ANIMADV.

ἐπακολουθεῖ] ἀκολουθεῖ. D. 2. Mox, δεῖ εἶναι. Idem, et A. 3.

ἦν δ' ἂν] accentus et ſpiritus in ἦν a man. rec. D. 1. *Erit*. Con. Atqui *minime* liberum erat. Vall.

ἦν τὸ ποτὲ ὁρμᾷν, ποτὲ μὴ] ἦν τὸ ποτὲ μὲν ὁρμᾷν, ποτὲ δὲ μή. D. 2. A. 3. δὲ habet etiam D. 1. A. 1. ἦν ποτὲ τὸ ὁρμᾷν, ποτὲ δὲ μὴ ὁρμᾷν. A. 2. Iterum *erit*, loco *erat*. Con.

εἰ δὲ ἐξ — τὸ ὁρμᾷν] abſunt. D. 2. Littera ο in ὁρμᾷν ex corr. rec. D. 1. Non impetu moveri et moveri. Cono. Ergo addit: τὸ μὴ ὁρμᾷν.

καὶ κατὰ τὴν ἡμετέραν φύσιν] καὶ abeſt. D. 2.

οἷόν τε ἦν] ἦν inſertum a rec. D. 1. ἦν omittit A. 3. Mox, καὶ μὴ γίνεσθαι. D. 2. *Hanc eſſe et non eſſe*. Con. Mox, ψευδὴς ἂν ἡ πρότασις. D. 2.

ὅτι τῶν αὐτῶν περιεστηκότων αἰτιῶν] ὅτι τῶν περιεστ. αἰτίων. D. 2. ὅτι τῶν αὐτῶν περιεστηκότων αἰτίων. A. 2.

καὶ ἐπὶ τοῖς ἀψύχοις] ἐπὶ raſura deletum. D. 1. abeſt. D. 2. τοῖς abeſt. M. 1.

εὑρεθήσεται] ὂν addit D. 1. εὑρήσεται. M. 1.

καὶ ἐπὶ τῷ πυρὶ] καὶ abeſt. A. 1. 2.

οὐρανοῦ καὶ ἀστέρων] οὐρανῶν καὶ ἄστρων. D. 1. οὐρανῶν etiam. A. 2. Coeli globos et ſtellas. Vall.

καὶ ποσότητος] a man. rec. inſerta. D. 1. *et qualitatis.* Vall. Hoc eſt, ποιότητος.

ἀτίμων ζώων] ἀτόμων, ζώων. D. 1. A. 2. Ox. Ellebodius, *ignobiliorum.* Sed Cono: *Individuorum et animalium et plantarum.* Valla: *Ad atomos generandas animaliaque et plantas.*

ἐν γενέσει καὶ φθορᾷ] τε, ante καὶ, addit D. 1.

τοὺς τὸν οὐρανὸν] τοὺς a rec. inſertum. D. 1. Paullo ante δευτέρους abeſt Con.

καὶ ἀριστοτέλης] καὶ omittit. Vall. Malim et ipſe id omittere.

ἀνατίθησιν ἡλίῳ καὶ τῷ ζωδιακῷ κύκλῳ. τῆς δὲ διεξαγωγῆς καὶ τοῦ τέλους τῶν πρακτῶν καὶ τῆς τάξεως τῶν κατὰ τὸν βίον, τῶν τε φυσικῶν καὶ τῶν ὑλικῶν τε καὶ ὀργανικῶν καλουμένων ἀγαθῶν, καὶ τῶν τούτοις ἀντικειμένων, τὴν τρίτην εἶναι πρόνοιαν Πλάτων ἀποφαίνεται. προΐστασθαι δὲ ταύτης τινὰς τεταγμένους δαίμονας περὶ τὴν γῆν, φύλακας τῶν ἀνθρωπίνων πράξεων. εἶναι δὲ καὶ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ προνοίᾳ τὸ εἶναι παρὰ τῆς πρώτης, ὡς δυνάμει πάντα παρὰ τοῦ πρώτου θεοῦ διοικεῖσθαι, τοῦ τάξαντος καὶ τοὺς δευτέρους καὶ τοὺς τρίτους προνοητάς. τὸ μὲν οὖν ἀναφέρειν εἰς θεὸν τὰ πάντα καὶ τῆς ἐκείνου βουλήσεως λέγειν διηρτῆσθαι πᾶσαν πρόνοιαν, ἄξιον ἐπαινεῖν· οὐκέτι δὲ καὶ τὸ δευτέραν λέγειν πρόνοιαν, τοὺς τὸν οὐρανὸν περι-

VAR. LECT. ET ANIMADV.

τῶν πρακτέων] τῶν πρακτῶν. D. 1. A. 2.

τάξεως τῆς κατὰ] τῶν, loco τῆς. D. 1. A. 2. Con. Et ad videndum ordinem. Vall.

καὶ τῶν τούτοις ἀντικειμένων — προΐστασθαι] Valla haec ita: et his etiam opposita ab iisdem vult administrari. Tertiam vero definit Plato providentiam, cui praeesse.

πλάτων ἀποφαίνεται] His addit: τινὰς τεταγμένους δαίμονας. Deinde pergit: προΐστασθαι κ. τ. λ. D. 1.

προΐστασθαι κ. τ. λ.] προΐστασθαι δὲ ταύτης ἀστέρας τεταγμένους καὶ ὄντας περὶ τὴν γῆν κ. τ. λ. D. 1. καὶ προΐστασθαι δὲ ταύτης τινὰς τεταγμένους δαίμονας περὶ τὴν γῆν τεταγμένους φύλακας. A. 2.

τῇ δευτέρᾳ καὶ τρίτῃ προνοίᾳ] τῆς δευτέρας καὶ τῆς τρίτης προνοίας. A. 2. τῇ solum, ante τρίτῃ, addit D. 1.

πρώτου θεοῦ] πρώτου abest. A. 2.

τάξαντος πρώτους καὶ δευτέρους] τάξαντος καὶ τοὺς δευτέρους. A. 2. D. 1. Con. *Praescribentis primis, secundis ac tertiis providentiis.* Vall.

διηρτῆσθαι πᾶσαν] ἠρτῆσθαι τὴν πᾶσαν. A. 2. Sic, sed ἠρτεῖσθαι. D. 1.

οὐκέτι δὲ τὸ δευτέραν] καὶ, ante τὸ, addit D. 1. A. 2. Haec quodammodo duriora sunt. Lenior oratio fuisset, si dixisset aut, τὸ δευτέρους λέγειν προνοητάς, τούς, aut, τὸ δευτέραν λέγειν πρόνοιαν τῶν — περιπολούντων.

πολοῦντας. οὐ γὰρ πρόνοια τὸ γινόμενον, ἀλλ' εἱμαρμένη
καὶ ἀνάγκη. ὅπως γὰρ ἂν ἐκεῖνοι συσχηματίζωνται, ἀνάγκη
καὶ τὰ γινόμενα γίνεσθαι καὶ ἄλλως μὴ ἐνδέχεσθαι· τῶν
δὲ κατὰ πρόνοιαν οὐδὲν ὑποπίπτειν ἀνάγκῃ, πάλαι δέδεικται.
οἱ δὲ Στωϊκοὶ Φιλόσοφοι τὴν εἱμαρμένην καὶ τὸ ἐφ' ἡμῖν
πρεσβεύοντες, οὐδὲ μίαν χώραν τῇ προνοίᾳ καταλείπουσιν·
ἀλλὰ ταῖς ἀληθείαις καὶ τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν, ὡς ἐδείχθη
πρότερον. Δημόκριτος δὲ καὶ Ἡράκλειτος καὶ Ἐπίκουρος
οὔτε τῶν καθόλου, οὔτε τῶν καθ' ἕκαστα πρόνοιαν εἶναι
βούλονται. Ἐπίκουρος γοῦν ἔλεγε, τὸ μακάριον καὶ ἄφθαρ- 169
τον οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει. ὥς-
τε οὔτε ὀργαῖς, οὔτε χάρισι συνέχεται· ἐν ἀσθενείᾳ γὰρ
πάντα τὰ τοιαῦτα. ὀργὴ (γὰρ) θεῶν ἀλλότριον. ἐπὶ γὰρ
ἀβουλήτῳ γίνεται· θεῷ δὲ οὐδὲν ἀβούλητον. οὗτοι μὴν
οὖν ἀκολουθοῦσι ταῖς ἰδίαις ἀρχαῖς. ἐξ αὐτομάτου γὰρ
ἡγούμενοι τὸ πᾶν τοῦτο συστῆναι, εἰκότως ἀπρονόητα φάσκου-
σιν εἶναι τὰ πάντα. ὧν γὰρ οὐδείς ἐστι δημιουργὸς, τού-
των τίς ἂν εἴη προνοητής; δῆλον γὰρ, ὡς αὐτομάτως ἀνάγκη

VAR. LECT. ET ANIMADV.

σχηματίζωνται] συσχηματίζονται. D. 1. A. 2. Configurarunt et deſignarunt. Con. Una figurabuntur. Vall. Mox deeſt καὶ ante τά. D. 1.

ἐνδέχεσθαι] ἐπιδέχεσθαι. A. 2. Non contingit. Vall. Contingere. Vall. Mox Cono omittit omnia ab τῶν δὲ ad δέδεικται. Deinde, ὑποπίπτει ἀνάγκῃ. Ox.

τὴν εἱμαρμένην] τῇ εἱμαρμένῃ. A. 2.

τὸ ἐφ' ἡμῖν] quod *non* ſit in nobis. Con.

πρεσβεύοντες] μὴ πρεσβεύοντες. A. 2. Mox, δημόκριτος μὲν γὰρ καί. A. 2. Deinde, ἡράκλητος. D. 1.

τὸ μακάριον] vid. Diog. Laërt. p. 431.

οὔτε ἄλλῳ παρέχει] οὔτε ἄλλοις παρέχει. D. 1. Iſta iterum poſt συνέχεται habet Valla.

χάρισι] χαροποιοῖς. D. 1.

ὀργὴ γὰρ θεῶν] γὰρ abeſt. D. 1. A. 2. Con. Mox, ἀβουλήτου. D. 1. A. 2. Praeter voluntatem enim fit. Con. Mox οὐδέ τι, loco οὐδέν. M. 2.

οὗτοι μὲν οὖν] αὐτοὶ μὲν οὖν. D. 1. Mox τὸ, ante πᾶν, abeſt. M. 2.

προνοητής;] διανοητής; M. 2. ac mox τῆς ἀρχῆς, loco τὴν ἀρχήν.

φέρεσθαι τὰ τὴν ἀρχὴν αὐτομάτως γενόμενα. δεῖ τοίνυν πρὸς τὴν πρώτην αὐτοῖς ἐνστῆναι δόξαν. ταύτης γὰρ ἀναιρουμένης, ἀρκέσει τὰ προῤῥηθέντα εἰς ἀπόδειξιν τοῦ πρόνοιαν εἶναι φυλάξαντες οὖν τοῖς οἰκείοις καιροῖς τὸν τούτων ἔλεγχον, ἔλθωμεν ἐπὶ τὴν Ἀριστοτέλους δόξαν καὶ τῶν ἄλλων, τῶν ἀπρονόητα λεγόντων τὰ καθ' ἕκαστα. καὶ γὰρ Ἀριστοτέλης ὑπὸ τῆς φύσεως ἡμῖν διοικεῖσθαι βούλεται τὰ κατὰ μέρος, ὡς ἐν τῷ ἕκτῳ τῶν νικομαχείων ἠθικῶν ὑπηνίξατο. ταύτην γὰρ θείαν οὖσαν καὶ τοῖς γενητοῖς πᾶσιν ἐνυπάρχουσαν, ἑκάστῳ φυσικῶς ὑποτίθεσθαι τὴν τῶν συμφερόντων αἵρεσιν καὶ τὴν τῶν βλαπτόντων φυγήν. ἕκαστον γὰρ, ὡς εἴρηται, τῶν ζώων καὶ τὴν κατάλληλον ἑαυτῷ τροφὴν ἐκλέγεται, καὶ τὸ συμφέρον μεταδιώκει, καὶ τὰς ἰατρείας τῶν παθῶν φυσικῶς ἐπίσταται. Εὐριπίδης δὲ καὶ

VAR. LECT. ET ANIMADV.

αὐτομάτως γενόμενα] αὐτομ. γινόμενα. D. 1. Mox πρώτην αὐτῶν ἐνστῆναι. Idem et Vall.

τὰ ἐηθέντα] τὰ προῤῥηθέντα. D. 1. τὰ προρηθέντα. A. 2.

τοῦ πρόνοιαν εἶναι] τοῦ εἶναι πρόνοιαν. A. 2. Mox, τὸν τοιούτων ἔλεγχον. Ox. Paullo poſt, τὴν τοῦ ἀριστοτέλους. D. 1. M. 2.

καὶ γὰρ ἀριστοτέλης] Cono incipit libri 8. cap. 4. Diſputat adverſus Ariſtotelem, qui in duodecimo Metaphyſicae deum ait minime ſingularium curam habere, ſed a natura diſponi: ubi ſimul Euripidis et Menandri opinio narratur ferme eadem.

φύσεως μόνης διοικεῖσθαι] ἡμῖν, loco μόνης. A. 2. D. 1. Dativus ita ſaepe interponitur. Ergo nihil contra Codices mutandum. Valla ſervat μόνης. Cono nec μόνης, nec ἡμῖν habet.

ἕκτῳ] abeſt. A. 2. ζ. id ed, ἑβδόμῳ. D. 1. ἑβδόμῳ. M. 2. Septimo. Con. Sexto. Vall. Mox, νικομαχιῶν. A. 2. Haud dubie reſpexit Eth. Nicomach. lib. VI. cap. 13. medium.

γεννητοῖς] γενητοῖς. A. 2. D. 1. Mox αἵρεσιν. D. 1. Sed M. 2. συμφερόντων ἔτι αἵρεσιν et mox ἁπτόντων, loco βλαπτόντων.

καὶ τὸν κατάλληλον] τὸν abeſt. D. 1. Recte ejus loco habet τήν. M. 2. mox, ἰατρίας. A. 2.

φυσικῶς] abeſt. A. 2. Antea, *paſſionum ſuarum remedia*. Con.

Μένανδρος ἐν ἐνίοις τὸν νοῦν τὸν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου (καὶ ἑαυτοῦ,) θεῶν δὲ μηδένα. ἀλλ' ὁ μὲν νοῦς τῶν ἐφ' ἡμῖν ἐστι μόνων· ἢ γὰρ τῶν πρακτῶν καὶ τῶν τεχνῶν, ἢ τῆς θεωρίας· ἡ δὲ πρόνοια, τῶν οὐκ ἐφ' ἡμῖν, ὡς τοῦ πλουτεῖν καὶ μὴ, καὶ ὑγιαίνειν καὶ μὴ, ὧν οὐδὲν ποιεῖν ὁ νοῦς δύναται, ἀλλ' οὐδὲ ἡ φύσις, ὡς Ἀριστοτέλης δοκεῖ. εὔδηλα γὰρ καὶ τὰ τῆς φύσεως ἔργα. τί δὲ πρὸς τὸν νοῦν ἢ τὴν φύσιν, τὸ ποτὲ μὲν τιμωρεῖσθαι τὸν φονέα,

VAR. LECT. ET ANIMADV.

μένανδρος ἐν] ἐν abeſt. Ox.

φασὶ] φησί. A. 2.

ἑκάστου, θεὸν δὲ] ἑκάστου, θεῶν δέ. D. 1. Con. ἑκάστου καὶ ἑαυτοῦ· θεῶν δέ. A. 2. Deum vero nequaquam. Vall. Mox μόνον, loco μόνων. A. 2. Ejus loco habet, *proviſor*, i. e. προνοητής. Con.

πρακτέων καὶ τῶν τεχνῶν] πρακτῶν, loco πρακτέων. D. 1. Sic, omiſſo mox τῶν. A. 2.

ἡ δὲ πρόνοια] δὲ abeſt. Ox.

ὡς τοῦ πλουτεῖν κ. τ. λ.] καὶ γὰρ τοῦ πλουτεῖν ἤτουν ὑγιαίνειν καὶ μὴ, οὐδὲν ὁ νοῦς ποιεῖν δύναται. D. 1. καὶ γὰρ τοῦ πλουτεῖν εἴτ' οὖν ὑγιαίνειν καὶ μὴ, ὧν οὐδὲν ὁ νοῦς ποιεῖν δύναται. A. 2. Loco ὡς τοῦ, habet etiam καὶ γάρ. M. 2. Solum ὧν, loco ſecundi ὡς, correxi. Ceterum, καὶ γὰρ τοῦ, loco prioris ὡς, non abſurdum eſt. Paullo ante in ſimili membro dixit ἢ γὰρ τῶν — ἢ τῆς. Ellebodius etiam videtur legiſſe ὧν οὐδὲν, *quorum nihil* etc. Cono ita: *Etenim* vel providet ditare, vel denique ſanare — *quorum nullum natura* facere poteſt. at neque natura. Valla: *Quorum nihil*, omiſſo ποιεῖν.

ἀριστοτέλης δοκεῖ. εὔδηλα γὰρ] ἀριστοτέλει δοκεῖ. δῆλα γάρ. D. 1. Sic, ſed ἀριστοτέλῃ. A. 2. Solum ἀριστοτέλει mutat M. 2. Δοκεῖ tam nominativo, quam dativo jungitur, quod notum eſt. *Ariſtoteli videtur* Con. *Ariſtoteles ducit*. Vall.

τί δὲ πρὸς] τὰ δὲ πρός. D. 1. τὰ δὲ διὰ τὸν νοῦν — τῷ ποτέ. M. 2.

ἢ τὴν φύσιν] abſunt. Con.

ποτὲ τιμωρεῖσθαι κ. τ. λ.] ποτὲ μὲν τιμωρεῖσθαι τὸν φονέα, καὶ τὸ κοινῶς γινώσκεσθαι τὸν φονέα, ποτὲ δὲ διαφεύγειν. A. 2. μὲν ſolum addit D. 1. Potuerunt ſane iſta ob ſimilitudinem excidere. Sed ita videtur etiam requiri καὶ διαλανθάνειν poſt διαφεύγειν.

ποτὲ δὲ διαφεύγειν; εἰ μή τις λέγει, τὸ μὲν τοῦ νοῦ καὶ τῆς φύσεως προνοίας εἶναι· τὸ δὲ δεύτερον, εἱμαρμένης. εἰ δὲ τὰ κατὰ νοῦν καὶ φύσιν προνοίας ἐστί· τὰ δὲ ἐπακολουθοῦντα, τῆς εἱμαρμένης, ἀνῄρηται τὸ ἐφ᾽ ἡμῖν. ἀλλ᾽ οὐχ᾽ οὕτως ἔχει. τὰ μὲν γὰρ τοῦ νοῦ, τοῦ τε πρακτικοῦ καὶ τοῦ θεωρητικοῦ, ἐφ᾽ ἡμῖν ἐδείχθη. οὐ πάντα δὲ τὰ κατὰ πρόνοιαν, τῆς φύσεως, εἰ καὶ τὰ τῆς φύσεως κατὰ πρόνοιαν γίνεται. πολλὰ γὰρ τῶν κατὰ πρόνοιαν οὐκ ἔστι φύσεως ἔργα, ὡς ἐπὶ τοῦ φονέως ἐδείχθη. ἔστι γὰρ μέρος προνοίας ἡ φύσις, οὐκ αὐτοπρόνοια. οὗτοι μὲν οὖν τῇ φύσει καὶ τῷ νῷ τὴν πρόνοιαν ἐπιγράφουσι τῶν καθ᾽ ἕκαστα· οἱ δ᾽ ἄλλοι τῷ θεῷ μέλειν φασὶ τῆς τῶν ὄντων διαμονῆς, ὥστε μηδὲν τῶν γενομένων ἐπιλεῖψαι, καὶ τούτου μόνου πρόνοιαν ποιεῖσθαι· τὰ δὲ καθ᾽ ἕκαστα φέρεσθαι, ὡς ἔτυχε· καὶ διὰ τοῦτο πολλὰς μὲν ἀδικίας, πολλὰς δὲ μιαιφονίας, καὶ συλλήβδην εἰπεῖν, πᾶσαν κακίαν ἐμπολιτεύεσθαι τοῖς
171 ἀνθρώποις· καὶ τούτων, ὡς ἔτυχε, τινὰς μὲν διαφυγεῖν τὴν δίκην, τινὰς δὲ καὶ κολάζεσθαι, οὔτε τῶν κατὰ τὸν

VAR. LECT. ET ANIMADV.

τὸ μὲν τοῦ νοῦ] quod *primum* intellectus et naturae eſt, providentiae eſſe. Con.

τὰ κατὰ νοῦν καὶ φύσιν] τὰ κατὰ τὸν νοῦν καὶ τὴν φύσιν. A. 2. τὰ abeſt. M. 2. Mox ἀνειρῆται. Sic. M. 2.

τοῦ τε πρακτικοῦ] τε abeſt. A. 2. Mox idem οὐ, ante πάντα omittit ac praeterea a man. rec. in marg. habet: πάντα δὲ κατὰ πρόνοιαν τὰ τῆς φύσεως.

εἰ καὶ τὰ τῆς φύσεως] Sic a recent., antea δὲ, loco καί. A. 2. Ante et poſt haec bis διάνοιαν, loco πρόνοιαν habet M. 2.

κατὰ πρόνοιαν γίνεται] his in marg. a man. rec. additur: οὐ μὴν πάντα τὰ κατὰ πρόνοιαν τῆς φύσεώς ἐστι. A. 2. Mox idem, ὡς ἐπὶ τοῦ φονέος. Valla reddidit, *de caede*.

οὗτοι μὲν οὖν] αὐτοὶ μὲν οὖν. D. 1. mox, οἱ δὲ ἄλλοι. Idem. Paullo poſt μέλλειν, loco μέλειν. A. 2. Τὰ καθ᾽ ἕκαστα, loco τῶν καθ᾽ ἕκαστα. M. 2.

μηδὲν τῶν γενομένων] ν in μηδὲν a man. rec. A. 2. mox, ἐπιλείψαι. D 1. Hoc Valla reddidit, *incuſare*.

διαφυγεῖν] διαφεύγειν. A. 2. D. 1. Utrumque probum, etsi mox ſit praeſens.

ὀρθὸν λόγον, οὔτε τῶν κατὰ νόμον πάντως ἀποβαινόντων. ἔνθα δὲ μήτε νόμος, μήτε λόγος κρατεῖ, πῶς ἄν τις φαίη, θεὸν εἶναι τὸν ἐπιμελούμενον; καὶ γὰρ συμβαίνει τοὺς χρηστοὺς ὡς ἐπὶ τὸ πλεῖστον ἀδικεῖσθαι καὶ ταπεινοῦσθαι καὶ μυρίοις κακοῖς περιβάλλεσθαι· τοὺς δὲ πονηροὺς καὶ βιαίους αὔξεσθαι δυναστείᾳ καὶ πλούτῳ καὶ ἀρχαῖς καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον ἀγαθοῖς. ἐμοὶ δὲ δοκοῦσιν οἱ ταῦτα λέγοντες πολλὰ μὲν καὶ ἄλλα τῶν κατὰ τὴν πρόνοιαν ἀγνοεῖν θεωρημάτων, μάλιστα δὲ τῆς ψυχῆς τὸ ἀθάνατον. θνητὴν γὰρ αὐτὴν ὑπολαμβάνοντες εἶναι, τῇ ζωῇ ταύτῃ τὰ κατὰ τὸν ἄνθρωπον περιγράφουσιν· ἔπειτα διεστραμμένας ἔχουσι τὰς περὶ τῶν ἀγαθῶν κρίσεις. οἴονται γὰρ, τοὺς πλοῦτον περιβεβλημένους καὶ κομῶντας ἀξιώμασι καὶ τοῖς ἄλλοις ὑλικοῖς ἀγαθοῖς ἐναβρυνομένους εὐδαίμονας εἶναι καὶ μακαρίους· τὰ δὲ τῆς ψυχῆς ἀγαθὰ παρ' οὐδὲν τίθενται, πολλῷ τῷ μέτρῳ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ὑπερέχοντα. κρείττονα γὰρ τὰ τῶν κρειττόνων ἀγαθά. τοσούτῳ τοίνυν

VAR. LECT. ET ANIMADV.

κατὰ νόμον πάντως] πάντως abeſt. D. 1. κατὰ νόμων τινα πάντως. M. 2.

ἔνθα δὲ — ἐπιμελούμενον] abſunt. Con.

καὶ συμβαίνει τοὺς] γὰρ, poſt καὶ, addit A. 2. D. 1. Con. καὶ συμβαίνειν τούς. M. 2. Mox, καὶ τοῖς λοιποῖς τοῖς κατὰ τὸν βίον. D. 1. βίον ſolum inſertum habet a man. rec. A. 2.

ἐμοὶ δὲ δοκοῦσι] Cono incipit libri 8. cap. 5. Cauſas narrat, quod ponentes divinam providentiam non eſſe ad ſingulos homines, ignorantiae caligine duoti ſint, mala etiam ignorantes, dei voluntate hominibus gratia accidere.

ἀξιώμασι] ἀξιώματι. A. 2. Mox vitioſe ἐναμβρυνομένους. D. 1. Cono hoc reddidit, *diſtentos*. Valla κομῶντας ἀξιώμασι vertit, *ſucceſſibus evectos*, poſt ἐναβρυνομένους vero addidit aliud membrum, *et gloria inſignes habitos*.

τίθεται πολλῷ μέτρῳ] τίθενται, πολλῷ τῷ μέτρῳ, A. 2. D. 1. τίθενται habet etiam M. 2.

κρείττονα γὰρ τὰ] κρεῖττον γὰρ τά. D. 1.

τοσούτῳ τοίνυν] poſt τοσούτῳ eſt aliquid ſpatii, deinde additum ς, id eſt, τοσούτως. D. 1. Mox πλούτῳ Idem. Et ὑγίας. A. 2.

ἀρεταὶ πλούτου τε καὶ ὑγείας καὶ τῶν ἄλλων ὑπερφέρουσιν,
ὅσῳ ψυχὴ σώματος. τοιγάρτοι καὶ μόναι καὶ σὺν τοῖς ἄλ-
λοις αἱ ἀρεταὶ μακάριον ποιοῦσι τὸν ἄνθρωπον· μετὰ μὲν
τῶν ἄλλων, κατὰ πλάτος, μόναι δὲ καὶ καθ' ἑαυτὰς, κατὰ
περιγραφήν. τῶν γὰρ ὄντων, τὰ μὲν κατὰ περιγραφὴν
172 νοεῖται, ὡς δίπηχυ· τὰ δὲ, κατὰ πλάτος, ὡς σωρός. σωροῦ
μὲν γὰρ κἂν δύο μεδίμνους ἀφέλῃς, τὸ λειπόμενον μένει
σωρός· καὶ τῆς κατὰ πλάτος δὲ μακαριότητος ἂν ἀφέλῃς
τά τε τοῦ σώματος καὶ τὰ τῶν ἐκτὸς ἀγαθὰ, καταλίπῃς δὲ
μόνας τὰς ἀρετὰς, μένει καὶ οὕτω τὸ μακάριον· ἡ γὰρ ἀρετὴ
καὶ καθ' ἑαυτὴν αὐτάρκης ἐστὶ πρὸς εὐδαιμονίαν. πᾶς οὖν
ἀγαθὸς μακάριος, καὶ πᾶς κακὸς ἄθλιος, κἂν πάντα συλ-
λήβδην ἔχῃ τὰ λεγόμενα τῆς τύχης ἀγαθά. ὅπερ ἀγνο-
οῦντες οἱ πολλοὶ, μόνους μακαρίους εἶναι νομίζουσι τοὺς εὐ-

VAR. LECT. ET ANIMADV.

τοιγάρτοι] *Tametsi*. Valla.

καθ' ἑαυτὰς κατὰ περιγραφήν.] His additur: τῶν γὰρ ὄντων, τὰ μὲν κατὰ περιγραφὴν νοεῖται κ. τ. λ. A. 2. M. 2. D. 1. Con. Vall. et Ox. ex MS. Habet etiam Ellebodius. Ergo culpa typothetae exciderant.

σωρός· σωροῦ μὲν] σορός· σωροῦ, omiſſo μέν. D. 1. μὲν etiam abeſt. A. 2.

καὶ τῆς κατὰ πλάτος δὲ μακαρ.] δὲ rejicit poſt τῆς. A. 2. δὲ, ante μακαρ. inſertum a primo. D. 1.

καὶ τὰ τῶν ἐκτὸς] τὰ abeſt. D. 1. Mox, καταλείπῃς. A. 2. D. 1.

μένει καὶ] καὶ μένει καί. A. 2. Mox, ὁ μακάριος, loco τὸ μακάριον: M. 2. Manet etiam ſic beatitudinem habens ſecundum ſeipſam anima. Virtus enim. Cono. Mox, ἡ γὰρ ἀρετὴ καθ'. A. 2. γὰρ loco δὲ habet etiam D. 1. deinde, δι' εὐδαιμονίαν, loco πρός. M. 2.

πάντα συλλήβδην] πάντα ὁμοῦ συλλήβδην. A. 2. Ὁμοῦ συλλήβδην, quae idem notant, ἐκ παραλλήλου juncta ſunt, uti Grammatici loquuntur. Cum tria genera bonorum ſint, animi, corporis et rerum externarum, ſeu fortunae, non inepta videtur lectio γῆς. Sed nec τύχης alienum eſt, cum contra eos diſputet, qui fortunae bona magni aeſtimant. Vide p. 171. οἴονται γὰρ τοὺς πλοῦτον. Praeterea τὰ λεγόμενα vindicant etiam τύχης. Vulgo enim τύχης ἀγαθὰ λέγεται, non γῆς.

ἅπερ ἀγνοοῦντες] ὅπερ ἀγνοοῦντες. A. 2. D. 1. Vall.

σωματοῦντάς τε καὶ πλουτοῦντας. διὸ μέμφονται τὴν πρόνοιαν, τὴν οὐ μόνον ἐκ τῶν φαινομένων διοικοῦσαν τὰ καθ' ἡμᾶς, ἀλλὰ καὶ κατὰ τὴν οἰκείαν πρόγνωσιν. εἰδὼς γὰρ ὁ θεὸς, ὅτι τῷ νῦν χρηστῷ καὶ ἀγαθῷ συμφέρει πένεσθαι, καὶ ὅτι διαφθείρει τὴν γνώμην αὐτοῦ πλοῦτος ἐπεισελθὼν, ἐν τῇ πενίᾳ φυλάττει συμφερόντως αὐτόν· εἰδὼς δὲ, πολλάκις τὸν πλούσιον χαλεπώτερον ἐσόμενον, εἰ σπανίσειε χρημάτων· (λῃστείαις γὰρ ἐπιχειρήσειεν ἢ μιαιφονίαις, ἤ τισιν ἄλλοις μείζοσι κακοῖς·) ἐᾷ τὸν πλοῦτον καρποῦσθαι. οὐκοῦν πενία πολλάκις ἡμῖν ἐλυσιτέλησε, καὶ τέκνα θάψαι, καὶ φυγεῖν οἰκέτας· πικροτέρα γὰρ τῆς ἀπωλείας αὐτῶν ἐγένετο ἂν ἡ σωτηρία· φαύλων μὲν τῶν τέκνων, λῃστῶν δὲ τῶν οἰκετῶν γενομένων. ἡμεῖς μὲν γὰρ οὐδὲν τῶν ἐσομένων εἰδότες, πρὸς τὰ παρόντα δὲ μόνον βλέποντες, οὐκ ὀρθῶς τὰ συμβαίνοντα κρίνομεν· τῷ δὲ θεῷ καὶ τὰ μέλ- 173
λοντα, ὡς παρόντα ἐστίν. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς

VAR. LECT. ET ANIMADV.

μακαρίους εἶναι νομίζουσι] μακαρίους λέγουσιν εἶναι. D. 1. μακαριστοὺς εἶναι, omisso νομίζουσι. A. 2. Mox idem omittit τε, ante καί.

τὰ καθ' ἡμᾶς] τὸ καθ' ἡμᾶς. D. 1.

ὅτι τῷ νῦν χρηστῷ] νῦν abest. D. 1. Loco ὁ θεὸς, habet ὁ θεῶν πρῶτος καὶ μέγιστος. M. 2.

πολλάκις τὸν πλούσιον] Sic, sed ex corr. rec., antea, credo, πλοῦτον. D. 1.

ἐπιχειρήσειεν] ἐπιχειρήσειν. A. 2. ἐπιχειρήσει, sed η ex corr., antea ι. D. 1.

ἤ τισιν ἄλλοις] ἢ τοῖς ἄλλοις. Ox.

οὐκοῦν πενία πολλάκις ἡμῖν] οὐκ οὖν καὶ νοσῆσαι ἡμῖν πολλάκις. A. 2. οὐκ οὖν καὶ νοσῆσαι πολλάκις ἡμῖν. D. 1. Sed nec πενία ab hoc loco aliena est, de qua modo dixit. Nisi scriptum fuerit, οὐκοῦν καὶ πένεσθαι καὶ νοσῆσαι. *Aegrotare* solum habet Con. *Paupertas* solum habet Vall.

μὲν τῶν τέκνων] τῶν abest. A. 2. Mox, γενομένων. D. 1. A. 2. Conjici possit γενησομένων. Cono: *in nos effectis.* Valla: *si — forent.*

μόνον βλέποντες] μόνα βλέποντες. D. 1.

καταγινώσκοντας εἴρηται, πρὸς οὓς καὶ τὸ τῆς γραφῆς ἁρμόσειεν ἂν εἰπεῖν· μὴ ὁ πηλὸς ἐρεῖ τῷ κεραμεῖ καὶ τὰ ἑξῆς. πῶς γὰρ οὐ φευκτός ἐστιν ἄνθρωπος, ἀντινομοθετῶν τῷ θεῷ, καὶ ἀντιπαρακελευόμενος τοῖς τῆς προνοίας ἔργοις, ὁ μηδὲ ταῖς ἀνθρωπίναις νομοθεσίαις ἀντιλέγειν τολμῶν; παραλιπόντες οὖν τὰ τοιαῦτα πλημμελήματα, μᾶλλον δὲ ἀσεβήματα, δείξωμεν, ὡς οὐ καλῶς αὐτοῖς ἀπρονόητα λέγεται τὰ καθ' ἕκαστα, τῶν καθόλου καὶ γενικῶν προνοίας τυγχανόντων. τρεῖς γὰρ ταύτας αἰτίας μόνας ἄν τις φαίη,

VAR. LECT. ET ANIMADV.

καταγινώσκοντας] post hoc a man. rec. expunctum, τὴν πρόνοιαν. D. 1. Malim, τῆς προνοίας, addito fortasse etiam ἀδικίαν. Nam καταγινώσκοντας, nude positum, quodammodo obscurum est. Cono reddidit, *eos, qui perversi sunt.* Valla: *cavillatores.* Neuter ergo καταγινώσκοντας expressit. Ergo fortasse hic aliud vocabulum latet.

μὴ ὁ πηλὸς] Loco μὴ est μένειν, et in marg. μὴ οὖν γε. M. 2.

ἐρεῖ τῷ κεραμεῖ καὶ τὰ ἑξῆς] ἐρεῖ solum. A. 2. Istorum loco post ἐρεῖ a man. rec. expuncta haec: τῷ πλάσαντι, τί με ἔπλασας οὕτως. D. 1. *Cur me sic finxisti*, addit Con. Ne lutum loquatur adversus planeque contendat. Vall.

πῶς γὰρ οὐ φευκτὸς] φευκτὸς, *fugiendus.* Fortasse, ψεκτὸς, *reprehendendus.* Cono: detestandus. Vall. aversandus.

ἀντιπαρακελευόμενος — ἔργοις] ἀντιπαρακελεύεσθαι probum est vocabulum, notatque contraria jubere, contra hortari. Habet Thucyd. VI, 13. Xenoph. p. 82. 85. Attamen minus apte videtur h. l. jungi ἔργοις. Alterutrum ergo dubium videtur. Conjicio ergo aut θεσμοῖς, νόμοις, ὅροις, aut ἀντιπαρατασσόμενος, vel simile quid. Cono: *renitens.* Valla: in providentiae opera invectus.

παραλειπόντες] Sic et D. 1. παραλείποντες. Ox. παραλιπόντες. A. 2. Cono hic incipit libri 8. cap. 6. Ducit Aristotelem ad magna inconvenientia, si deus provideret singulis hominibus aut rebus.

οὐ καλὸν αὐτοῖς ἀπρονόητα λέγειν] οὐ καλῶς αὐτοῖς ἀπρονόητα λέγεται. A. 2. D. 1. Ox. Con. Sed Valla: ut eis minime recte *visum est*, improvisa *dici*. Οὐ καλῶς habet etiam M. 2.

ἢ γὰρ ἀγνοεῖν] ἢ γὰρ ἀγνοεῖ. A. 2.

τοῦ μὴ γίνεσθαι πρόνοιαν τῶν καθ' ἕκαστα· ἢ γὰρ ἀγνοεῖν
τὸν θεὸν, ὅτι καλὸν καὶ τούτων ἐπιμελεῖσθαι, ἢ μὴ βού-
λεσθαι, ἢ μὴ δύνασθαι. ἀλλ' ἄγνοια μὲν καὶ ἀμαθία παν-
τάπασιν ἀλλοτριώτατον τῆς μακαρίας οὐσίας. αὐτὸ γὰρ
γνῶσίς ἐστι καὶ σοφία καὶ ἐπιστήμη. πῶς δ' ἂν καὶ λάθοι
τὸν θεὸν, ἃ μηδὲ ἄνθρωπος εὖ Φρονῶν ἀγνοήσειεν, ὡς, τῶν
κατὰ μέρος πάντων διαφθειρομένων, καὶ τὰ καθόλου
διαφθαρήσεται; ἐκ γὰρ τῶν κατὰ μέρος πάντων τὰ καθ-
όλου συνίσταται. ἐξισάζει γοῦν τὰ εἴδη πᾶσιν ὁμοῦ τοῖς
κατὰ μέρος, καὶ ἀντιστρέφει, καὶ συνδιαφθείρεται καὶ
συνδιασώζεται. οὐδὲν δὲ κωλύει, πάντα τὰ ἄτομα ἀπο-
λέσθαι, μηδὲ μιᾶς ἄνωθεν κηδεμονίας τυγχάνοντα. τού-
των οὖν ἀπολλυμένων, καὶ τὰ καθόλου διαφθαρήσεται. εἰ
δὲ τούτου προνοεῖν μόνου Φήσουσιν αὐτὸν, τοῦ μὴ πάντα 174.
τὰ κατὰ μέρος ἀπολέσθαι, ἵνα σώζηται τὰ εἴδη, λανθά-
νουσιν ἑαυτοὺς λέγοντες, εἶναί τινα καὶ τῶν καθ' ἕκαστα

VAR. LECT. ET ANIMADV.

ἢ μὴ βούλεσθαι ἢ μὴ δύνασθαι] ἢ μὴ δύνασθαι, ἢ μὴ βούλεσθαι. A. 2. D. 1 Mox, ἄγνοιαν μὲν καὶ ἀμαθίαν. D. 1.

αὐτὸ γὰρ γνῶσις] In Codice D. 1. et A. 2. eſt ſub αὐτὸ et γνῶσις ſemicirculus, ut ita utrumque vocabulum jungatur. Cono: Per ſe enim cognitio.

πῶς δὲ ἄνθρωπος κ. τ. λ.] πῶς δ' ἂν καὶ λάθοι τὸν θεὸν, ἃ μηδ' ἄνθρωπον (Sic.) εὖ Φρονῶν. A. 2. πῶς δ' ἂν καὶ λάθη τὸν θεὸν, ἃ μηδὲ ἄνθρωπος εὖ Φρονῶν. D. 1. Sic, omiſſo καὶ, Cono. Sed Valla: Quisnam homo adeo rerum ignarus eſt.

διαφθειρομένων κ. τ. λ.] Φθειρομένων καὶ τὸ καθόλου. D. 1.

πάντων τὰ καθόλου] πάντα τὰ καθ' ὃ, ſed in marg. καθόλου, M. 2.

πᾶσιν ὁμοίως τοῖς] πᾶσιν ὁμοῦ τοῖς. D. 1. A. 2. *Simul.* Valla. Neutrum horum habet Cono.

συνδιαφθείρεται καὶ συνδιασ.] συνδιαφθαρήσεται καὶ συνδιασώζεται. D. 1. συνδιαφθ. καὶ οὐ διασώζεται. M. 2.

μόνον Φήσουσι αὐτῶν] μόνου Φήσουσιν αὐτόν. A. 2. D. 1. αὐτὸν habet etiam M. 2.

τὰ κατὰ μέρος] τὰ abeſt. A. 2. Mox idem ἀπόλλεσθαι.

λανθανούσης] λανθάνουσιν. M. 2. A. 2. D. 1. Ox. Atque ita videtur etiam legiſſe Ellebodius, qui habet, *non vident.* Cono: latet eos. Valla: ſe ipſi latent.

πρόνοιαν. τούτων γὰρ προνοῶν, ὡς αὐτοὶ λέγουσι, διαφυλάττει τὰ εἴδη καὶ τὰ γένη. ἀλλ' ἄλλοι ψασὶν, ὡς οὐκ ἀγνοεῖ μὲν, οὐ βούλεται δὲ προνοεῖν. ἀλλὰ τὸ μὴ βούλεσθαι, διὰ δύο γίνεται προφάσεις, ἢ διὰ ῥαθυμίαν, ἢ διὰ τὸ ἀπρεπές. καὶ τίς ἂν μὴ μαινόμενος ῥαθυμίας αἰτίαν ἐπάγοι θεῷ; πάλιν γὰρ ὑπὸ δύο τούτων ῥαθυμία τίκτεται, ἡδονῆς καὶ δειλίας. ἢ γὰρ ὑφ' ἡδονῆς τινὸς περιελκόμενοι ῥαθυμοῦμεν, ἢ διὰ φόβον ἀφιστάμεθα. οὐδέτερον δὲ τούτων θεμιτὸν διανοηθῆναι περὶ θεοῦ. εἰ δὲ ῥαθυμίαν μὲν ἐπάγειν παραιτοῖντο, λέγοιεν δὲ, μὴ πρέπειν θεῷ· ἀνάξιον γὰρ εἶναι τῆς τοιαύτης μακαριότητος, τοῖς εὐτελέσι καὶ μικροῖς συγκαταβαίνειν, καὶ οἱονεὶ συμβεβηλοῦσθαι ταῖς ὑλικαῖς τε καὶ προαιρετικαῖς ἀτοπίαις, καὶ διὰ τοῦτο μὴ βούλεσθαι, ἀγνοοῦσι, δύο πάθη τὰ χείριστα τῷ θεῷ περιάπτοντες, ὑπεροψίαν καὶ μολυσμόν. ἢ γὰρ

VAR. LECT. ET ANIMADV.

τὰ γένη καὶ τὰ εἴδη κ. τ. λ.] τὰ εἴδη καὶ τὰ γένη. ἀλλὰ φασὶν, ὅτι οὐκ. A 2. Con. Vall. τὰ εἴδη καὶ τὰ γένη. ἀλλ' ἄλλοι φασὶν, ὡς. D. 1.

οὐ βούλεται δὲ] Sic in rasura ex correct. rec., antea, credo, βουλεύεται. D. 1.

ἂν μαινόμενος] ἂν μὴ μαινόμενος. D. 1. A. 2. Con. Sed Valla: sed quisnam, quaeso, tam amens, ut. Mox, ἐπαγάγοι. D. 1. A. 2. ἐπάγει. M. 2.

ῥαθυμοῦμεν] ῥαθυμῶμεν. D. 1.

οὐδέτερον δὲ] οὐδὲ ἕτερον δέ. A. 2.

εἰ δὲ ῥαθυμίαν κ. τ. λ.] εἰ ῥαθυμίαν μὲν ἐπάγειν παραιτοίντο (Sic. Et a corr. rec. παρέψοιντο) λέγειν (Sed syllabae ειν inscriptum a rec. ε.) δὲ μή. A. 2. εἰ δὲ ῥαθυμίαν μὲν ἐπάγειν παραιτοῖντο, λέγοιεν (sed ν punctis notatum.) δὲ μὴ πρέπειν. D. 1.

ἀνάξιον γὰρ εἶναι] γὰρ a man. rec. A. 2. Mox, τῆς τοσαύτης μακαριότητος. Sed α. secundum in μακαριότ. supra scriptum. D. 1. τοσαύτης non displicet.

μικροῖς συγκαταβαίνειν] ex correct. rec., antea μακροῖς. A. 2.

βεβηλοῦσθαι] συμβεβηλοῦσθαι. D. 1. A. 2. Contaminari. Con. Mox idem προαιρετικαῖς ἀτοπίαις reddit, *electu indignis*. Ergo ἀπροαιρέτοις.

περιάπτοντες] προςάπτοντες. D. 1. A. 2. Utrumque usitatum.

δι᾽ ὑπεροψίαν ὁ δημιουργὸς ὑπερορᾷ τῆς ἀρχῆς καὶ διοικήσεως
τῶν κατὰ μέρος, ὅπερ ἀτοπώτατον εἰπεῖν, ἢ τὸν μολυσμὸν
ἐκκλίνων, ὡς αὐτοί φασιν. εἰ δὲ, τῶν ἡλιακῶν ἀκτίνων,
φύσιν ἐχουσῶν ἕλκειν πᾶν ὑγρὸν, οὔ φασι καταμολύνεσθαι
τὸν ἥλιον, οὐδὲ τὰς ἀκτίνας αὐτοῦ, ὅταν τοῖς βορβόροις
ἐλλάμπωσιν, ἀλλὰ μένειν ἀχράντους καὶ καθαρὰς, πῶς
τὸν θεὸν ἡγοῦνται συμβεβηλοῦσθαι τοῖς τῇδε πραττομένοις; 175
οὐκ ἔστιν ἀνθρώπων, φύσιν εἰδότων θεοῦ, ταῦτα τὰ δόγμα-
τα. ἀνέπαφον γὰρ καὶ ἀδιάφθορον καὶ ἀμίαντον καὶ πάσης
ἀλλοιώσεως κρεῖττον τὸ θεῖον καθέστηκεν. ὁ γὰρ μολυσμὸς
καὶ πάντα τὰ τοιαῦτα τροπῆς ἐστιν ἔργα. πῶς δὲ οὐκ
ἀτοπώτατον τεχνίτην μὲν οἱασδήποτε τέχνης, καὶ μά-
λιστα ἰατρὸν, ἐπιμελούμενον τῶν καθόλου, μηδὲν τῶν κατὰ
μέρος, μηδὲ τὸ σμικρότατον ἐᾷν ἀτέχναστον καὶ ἀνεπιμέ-
λητον, εἰδότα, ὡς εἰς τὸ πᾶν συντελεῖ τὸ μέρος, τὸν δὲ
δημιουργὸν θεὸν καὶ τῶν τεχνιτῶν ἀποφαίνειν ἀμαθέστερον;
ἀλλ᾽ ἄρα βούλεται μὲν, οὐ δύναται δέ. καὶ πῶς οὐκ ἄντι-
κρυς ἀπεμφαῖνον, ἀσθενῆ λέγειν τὸν θεὸν καὶ ἀδύνατον εὖ

VAR. LECT. ET ANIMADV.

ἢ γὰρ δι᾽ ὑπεροψίαν] εἰ, loco ἤ. A. 2.
καὶ διοικήσεως κ. τ. λ.] post καὶ rasura deletum τῆς, et τὸ, loco τῶν. D. 1. Mox, ὡς καὶ αὐτοί φασιν. Idem.
πᾶν τὸ ὑγρὸν] τὸ abest. D. 1. A. 2. Mox, τὰς ἀκτίνας αὐτὰς, ὅταν. A. 2. M. 2. Ne quidem radios ipsos. Vall.
συμβεβηλοῦσθαι] βεβηλοῦσθαι. D. 1. Mox, τῇ, in τῇδε, a man. rec. A. 2. Mox τὰ, ante δόγματα, abest. M. 2.
ἀδιάφθορον] ἀδιάφορον. A 2.
ὁ δὲ μολυσμὸς κ. τ. λ.] ὁ γὰρ μολυσμός. M. 2. A. 2. ὁ γὰρ μολυσμὸς καὶ τὰ τοιαῦτα. D. 1. Γὰρ habet etiam Cono, sed ἄλλα, loco πάντα. Γὰρ et πάντα expressit Valla. Mox, τεχνίτην μὲν οἱασδήποτε. D. 1. A. 2. Vall.
μηδὲν τῶν κατὰ μέρος] μηδὲ, loco μηδέν. A. 2. μηδὲν τῶν καθ᾽ ἕκαστα ἢ κατὰ μέρος. M. 2.
εἰδότα ὡς] ab hoc loco ad finem paginae 177. edit. Ant. vocabula διάφορόν τε καὶ leguntur a man. rec. in marg. A. 2.
συντελεῖ μέρος] συντελεῖ τὸ μέρος. D. 1. A. 2. Mox ἀμαθέστερον, loco ἀμαθέστατον. A. 2. D. 1. Con. *Imperitius.* Vall. Paullo post, ἀπεμφαῖνον, loco ἀπεμφαίνον. D. 1. ἀπεμφαίνων ἀσθενῆ λέγων τὸν θεόν. M. 2.

ποιεῖν; ἄλλως τε κατὰ δύο τρόπους φαίη τις ἂν τὸν θεὸν
μὴ δύνασθαι προνοεῖν τῶν ἀτόμων, ἢ τῷ αὐτὸν μὴ πεφυ-
κέναι, ἢ τῷ τὰ κατὰ μέρος ἀνεπίδεκτα προνοίας εἶναι. ἀλλ'
ὅτι μὲν αὐτὸς πέφυκε προνοεῖν, καὶ αὐτοὶ συνομολογοῦσι,
δι' ὧν φασιν αὐτὸν τῶν καθόλου προνοεῖν· ἄλλως τε, τὰ
μὲν καταδεέστερα φθάνειν εἰς τὰ ὑπερκείμενα οὐχ οἷόν τέ
ἐστι· τῶν δὲ κρειττόνων ἡ δύναμις ἄχρι καὶ τῶν τελευ-
ταίων καὶ τῶν ἀναισθήτων σώζουσα κάτεισι. πάντα γὰρ
ἤρτηται τοῦ θείου θελήματος, καὶ ἐντεῦθεν ἀρύεται τὴν
διαμονὴν καὶ σωτηρίαν. ὅτι δὲ καὶ ἡ τῶν ἀτόμων καὶ πε-
πληθυσμένων ὑπόστασις προνοίας ἐστὶ δεκτικὴ, δῆλον ἐκ τῶν
176 ζώων, τῶν ἀρχαῖς τισι καὶ ἡγεμονίαις διοικουμένων, ὧν πολ-
λὰ μὲν εἴδη. καὶ γὰρ μέλισσαι καὶ μύρμηκες καὶ τὰ πλεῖστα
τῶν συναγελαζομένων ὑπό τισιν ἡγεμόσι τέτακται, οἷς ἀκο-
λουθεῖ πειθόμενα. μάλιστα δ' ἄν τις τοῦτο κατανοήσειεν
εἰς τὴν τῶν ἀνθρώπων πολιτείαν ἐμβλέψας. φαίνεται γὰρ
τὰς τῶν νομοθετῶν καὶ τὰς τῶν ἀρχόντων ἐπιδεχομένη
διοικήσεις καὶ ἐπιμελείας· ἡ δὲ τούτων δεκτικὴ, πῶς ἂν

VAR. LECT. ET ANIMADV.

φαίη τις ἂν] φαίη ἄν τις. A. 2. Mox, τὸν ἀτόμων. Sic. D. 1.

ἢ τῷ αὐτὸν — ἢ τῷ τὰ κατὰ] ἢ τὸ αὐτὸν — ἢ τὸ κατὰ μέρος. A. 2. ἢ τῷ αὐτὸν — ἢ τῷ κατά. D. 1. ἢ τὸ αὐτὸ — καὶ τὸ κατά. M. 2. mox, εἶναι προνοίας. D. 1.

ὅτι μὲν αὐτὸς] ὅτι αὐτὸς μέν. D. 1.

ἀρύεται] ἀῤῥύεται. A. 2. D. 1. Ox. Paullo poſt, ἡγεμονίας. D. 1.

διοικουμένων, ὧν συναγελαζομένων] διοικουμένων· ὧν πολλὰ μὲν εἴδη. καὶ γὰρ μέλισσαι καὶ μύρμηκες καὶ τὰ πλεῖστα τῶν συναγελαζομένων. A. 2. D. 1. Con. Vall. Sic etiam ex MS. ſed omiſſo μέν. Ox. Servata lectione vulgata legendum eſſet, ἃ συναγελαζόμενα et poſt πλείστων addendum, ἔστιν ἰδεῖν. Verſionem Ellebodii, quae eandem ſententiam habet, h. l. mutare nolui.

ὡς ἐπὶ τῶν μελισσῶν καὶ μυρμήκων καὶ ἄλλων πλείστων] Haec poſt πειθόμενα abſunt. A. 2. D. 1. Ox. Con. Vall.

ἐμβλέψας. φαίνεται] ἀνεμβλέψας. φαίνηται. Sic. M. 2. Continuo: γὰρ καὶ τὰς τῶν νομοθετῶν. Idem.

ἡ δὲ τούτων δεκτικὴ] εἰ, loco ἡ. A. 2. Con. Vall. Utrumque ferri poteſt.

εἴη τῆς τοῦ δημιουργοῦ προνοίας ἀνεπίδεκτος; τεκμήριον δὲ οὐ μικρὸν τοῦ καὶ τὰ καθ' ἕκαστα προνοίας τυγχάνειν, τὸ φυσικῶς ἐγκατεσπάρθαι τοῖς ἀνθρώποις τὴν γνῶσιν αὐτῆς. ὑπ' ἀνάγκης γὰρ συσχεθέντες, εὐθὺς ἐπὶ τὸ θεῖον καὶ τὰς εὐχὰς καταφεύγομεν, ὡς ἂν τῆς φύσεως ἀγούσης ἡμᾶς ἀδιδάκτως ἐπὶ τὴν τοῦ θεοῦ βοήθειαν. οὐκ ἂν δὲ ἡμᾶς ἀδιδάκτως ἦγεν ἡ φύσις ἐπὶ τὸ μὴ φύσιν ἔχον γίνεσθαι. καὶ γὰρ ἐν ταῖς ἐξαίφνης ταραχαῖς καὶ φόβοις ἀπροαιρέτως, πρίν τι καὶ σκέψασθαι, τὸν θεὸν ἐπιβοώμεθα. πᾶν δὲ τὸ ὁτῳοῦν φυσικῶς ἑπόμενον, ἰσχυρὰν ἔχει τὴν ἀπόδειξιν, οὐδὲ μίαν ἀντιλογίαν ἐπιδεχόμενον. πόθεν οὖν προήχθησαν ἐπὶ τοῦτον τὸν λόγον οἱ ταῦτα δοξάζοντες; πρῶτον μὲν, τῷ νομίζειν συνδιαλύεσθαι τῷ σώματι τὴν ψυχήν· δεύτερον δὲ, τῷ μὴ δύνασθαι τὸν λόγον ἐξευρεῖν τῆς κατὰ μέρος προνοίας. ἀλλ' ὅτι μὲν οὐκ ἔστιν ἡ ψυχὴ θνητὴ, οὐδὲ μέχρι τοῦ βίου

VAR. LECT. ET ANIMADV.

τεκμήριον δὲ] Cono incipit libri 8. cap. 7. Ostendit, divinae providentiae cognitionem nobis naturaliter insertam esse, aperitque causas, cur in hunc errorem prolapsi sint, non credentes videlicet animae immortalitatem, vel rationem et causam providentiae perscutari nequeuntes.

οὐ μικρὸν] οὐ σμικρόν. D. 1.

καταφεύγομεν] καταφύγομεν. Ox.

τὴν τοῦ θεοῦ βοήθειαν] τὴν ἀπὸ θεοῦ βοήθειαν. D. 1. τὴν ἀπὸ τούτων. A. 2. ad eorum auxilium. Vall. Per se intelligitur, nudum etiam genitivum θεοῦ explicandum esse per ἀπὸ, seu παρά. Placet autem lectio ἀπὸ τούτων, ut et ad θεῖον et ad εὐχὰς referatur.

δὲ ἡμᾶς ἀδιδάκτως κ. τ. λ.] δὲ ἀδιδάκτως ἦγεν ἡμᾶς ἡ φύσις. D. 1. Mox, idem γίγνεσθαι.

πᾶν δέ τι ὁ τῷ οὖν] πᾶν δὲ τὸ ᾧτῳ οὖν. A. 2. πᾶν δὲ τὸ ᾡτῳοῦν. Spiritus in ᾡ a man. rec., antea ῳ. D. 1. ὁτῳοῦν satis notum est, loco ᾡτινιοῦν.

καὶ οὐδὲ μίαν ἀντιλογ.] οὐδεμίαν ἀντιλογ. A. 2. D. 1. Con. Sed Valla: Et ne ullam quidem suscipit contradictionem. Ergo καὶ — ἐπιδέχεται.

τοῦτον τὸν λόγον] τοιοῦτον τὸν λόγον. M. 2.

τῷ νομίζειν — τῷ μὴ δύνασθαι] τὸ νομίζειν — τὸ μὴ δύνασθαι. D. 1. Mox idem, ἵσταται, loco ἵστηται.

τούτου τὰ κατὰ τὸν ἄνθρωπον ἵσταται, αἵτε παρὰ τοῖς
177 σοφωτάτοις τῶν Ἑλλήνων μετενσωματώσεις δηλοῦσι, καὶ οἱ
λεγόμενοι τόποι ταῖς ψυχαῖς ἀποκεκληρῶσθαι πρὸς τὸν ἑκάστης βίον, καὶ αἱ τιμωρίαι τῶν ψυχῶν, ἃς τιμωροῦνται καθ' ἑαυτάς. ταῦτα γὰρ, εἰ καὶ διαπίπτει κατά τι ἕτερον, ἀλλὰ τὸ τὴν ψυχὴν εἶναι μετὰ τὴν ζωὴν ταύτην καὶ δίκας ὑπέχειν τῶν πλημμελημάτων συνομολογεῖ. εἰ δὲ ἀκατάληπτος ἡμῖν ἐστιν τῆς τῶν κατὰ μέρος προνοίας ὁ λόγος, ὥςπερ οὖν καὶ ἐστὶ, κατὰ τό· ὡς ἀνεξερεύνητα τὰ κρίματά σου καὶ ἀνεξιχνίαστοι αἱ ὁδοί σου· ἀλλ' οὐ διὰ τοῦτο δεῖ λέγειν, ὡς οὐκ ἔστι πρόνοια. οὐδὲ γὰρ ἐπειδὴ τὸ μέτρον τῆς θαλάσσης ἀγνοοῦμεν, καὶ τὸν ἀριθμὸν τῆς ψάμμου, φαίη τις ἂν μήτε θάλασσαν, μήτε ψάμμον εἶναι. οὕτω γὰρ εἴποιεν ἂν μήτε ἄνθρωπον, μήτε ἄλλό τι ζῶον εἶναι, ἐπειδὴ τὸν ἀριθμὸν τῶν τε ἀνθρώπων, καὶ τῶν ἄλλων ζώων ἀγνοοῦσι. τὰ γὰρ ἄτομα, ἄπειρα ἡμῖν· τὰ δὲ ἄπειρα, καὶ ἄγνωστα ἡμῖν. καὶ τὰ μὲν καθόλου λόγῳ πολλάκις γίνεται περιληπτὰ, τὰ δὲ κατὰ μέρος ἀδύνατον. οὔσης δὲ καθ' ἕκαστον ἄνθρωπον διττῆς διαφορᾶς, τῆς τε πρὸς ἕτερον ἄνθρωπον, καὶ τῆς πρὸς ἑαυτόν· πολλὴ γὰρ

VAR. LECT. ET ANIMADV.

μετενσωματώσεις] migrationes animorum in alia corpora, quas Plato docuit, quaeque ſuperſtites faciunt animos. Vide Fiſcherum ad Platonis Phaedonem §. 15. nota 1. pag. 295.

ἀποκεκληρῶσθαι] hoc malim ponere ante λεγόμενοι. De his locis ac de poenis poſt mortem vide Aeſchinem Socrat. Dialog. III. circa finem.

ταῦτα δὲ εἰ καὶ διαπίπτει] Etſi autem haec dogmata alio argumento dilabantur, h. e. convellantur, arguantur.

ἐστὶν ἡμῖν τῆς τῶν] ἡμῖν ἐστὶ τῆς τῶν. A. 2. D. 1.

ἀλλ' οὐ διὰ τοῦτο] ἀλλὰ διὰ τοῦτο. A. 2.

τῆς ψάμμου] τῶν ψάμμων. M. 2. Idem mox, εἴποιμεν, loco εἴποιεν.

μήτε ἄλλο τι ζῶον] τι abeſt. A. 2.

τὰ δὲ ἄπειρα ἡμῖν, ἄγνωστα ἡμῖν] τὰ δὲ ἄπειρα καὶ ἄγνωστα ἡμῖν. D. 1. Ita fere p. 178. εἰ δὲ ἄπειρος, καὶ ἄγνωστος ἡμῖν. Mox ordine inverſo, λόγῳ πολλάκις. D. 1. A. 2.

καὶ ἡ πρὸς ἑαυτὸν ἑκάστου καθ᾽ ἑκάστην ἡμέραν ἐναλλαγὴ
καὶ διαφορὰ ἔντε τοῖς βίοις καὶ τοῖς ἐπιτηδεύμασι καὶ χρείαις
καὶ ἐπιθυμίαις καὶ τοῖς ἐπισυμβαίνουσιν· ἀγχίστροφον γὰρ
τοῦτο τὸ ζῶον, ταῖς χρείαις καὶ τοῖς καιροῖς ὀξέως συμμε-
ταβαλλόμενον· ἀνάγκη καὶ τὴν ἁρμόζουσαν ἑκάστῳ πρόνοιαν
διάφορόν τε καὶ ποικίλην καὶ πολυσχιδῆ καὶ σύνδρομον τῇ 178
τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτείνεσθαι, εἴγε δεῖ
πρόσφορον ἑκάστῳ καθ᾽ ἕκαστον πρᾶγμα καὶ οἰκείαν ὑπάρ-
χειν αὐτήν· ἄπειρος δὲ τῶν κατὰ μέρος ἡ διαφορὰ, ἄπει-
ρος ἄρα καὶ τῆς ἁρμοζούσης αὐτοῖς προνοίας ὁ λόγος· εἰ δὲ
ἄπειρος, καὶ ἄγνωστος ἡμῖν. οὐ δεῖ τοίνυν τὴν οἰκείαν
ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς τῶν ὄντων κηδεμονίας. ἃ
γὰρ σὺ νομίζεις μὴ καλῶς, ταῦτα κατὰ λόγον μὲν τῷ δη-
μιουργῷ γίνεται· σὺ δὲ ἀγνοῶν τὰς αἰτίας, οὐ κατὰ λόγον

VAR. LECT. ET ANIMADV.

ἡ πρὸς ἑαυτὸν ἑκάστου] ἡ abeſt. A. 2.

ἀγχίστροφον] mutabile. Ita Aelian. Varr. Hiſt. V, 13. ἀγχίστροφος μεταβολή.

ἁρμόζουσαν ἑκάστῳ πρόνοιαν] ἑκάστου, loco ἑκάστῳ. D. 1. mox, a ποικίλην καὶ rurſus incepit manus prima in textu. A. 2.

πολυσχεδῆ] Sic, credo, antea; nunc ex correct. πολυσχιδῆ. D. 1. Multifariam ſciſſam. Vall.

τῶν πεπληθυσμένων] Eorum, quae in tempore accidunt. Cono. Idem mox συνεκτείνεσθαι reddidit, *adeſſe*.

συνεκτείνεσθαι κ. τ. λ.] συνεκτείνεσθαι (ex correct., antea σύνεσθαι) εἴγε δεῖ πρόσφορον ἑκάστῳ καθέκαστον πρᾶγμα. A. 2. Etiam, εἴγε δὴ πρόσφορον ἑκάστῳ καθ᾽ ἕκαστον. D. 1. Loco δεῖ, habet γε δή. M. 2.

ἄπειρος ἅμα — αὐτοῦ προνοίας] ἄπειρος ἄρα — αὐτοῖς προνοίας. A. 2. D. 1. Con. Vall. αὐτοῖς habet etiam Ox. et M. 2. Sed hic continuo exhibet ἀνοίας. In margine tamen προνοίας.

ἃ γὰρ σὺ νομίζεις] ἃ γὰρ σὺ νομίζῃς. A. 2.

κατὰ λόγον μὲν] μέν abeſt. A. 2. mox γίνεται, loco ἔγνωσται. A. 2. D. 1. Ox. Sed Cono: agnoſcuntur.

ἀγνοεῖς — οὐχὶ κατὰ λόγον] ἀγνοῶν — οὐ κατὰ λόγον. D. 1. A. 2. ἀγνοῶν habet etiam Ox. M. 2. et Cono. Sed hic: non *ignorans*, dicis fieri.

φὴς γίνεσθαι. ὅπερ γὰρ κἀπὶ τῶν ἄλλων τῶν ἀγνώστων
πάσχομεν, τοῦτο κἀπὶ τῶν ἔργων τῆς προνοίας· ἐξ εἰκα-
σίας τινὸς, καὶ ταύτης ἀμυδρᾶς, συννοοῦμεν τὰ κατὰ ταύτην,
εἴδωλά τινα καὶ σκιὰς τῶν ἔργων αὐτῆς ἐκ τῶν γινομένων
κατὰ στοχασμὸν λαμβάνοντες. Φαμὲν γοῦν τινὰ γίνεσθαι
κατὰ συγχώρησιν τοῦ θεοῦ· τῆς δὲ συγχωρήσεως εἴδη
πολλά. συγχωρεῖ γὰρ πολλάκις καὶ τὸν δίκαιον περιπεσεῖν
συμφοραῖς, ἵνα τὴν ἐν αὐτῷ λανθάνουσαν ἀρετὴν ἀναδείξῃ
τοῖς ἄλλοις, ὡς ἐπὶ τοῦ Ἰώβ. ἄλλοτε συγχωρεῖ τῶν ἀτό-
πων τί πραχθῆναι, ἵνα διὰ τῆς πράξεως τῆς δοκούσης ἀτό-
που μέγα τι καὶ θαυμαστὸν κατορθώσῃ, ὡς διὰ τῶ σταυ-
ροῦ τὴν σωτηρίαν τῶν ἀνθρώπων. κατ' ἄλλον τρόπον συγ-
χωρεῖ καὶ τὸν ὅσιον πάσχειν κακῶς, ἵνα μὴ ἐκ τοῦ ὀρθοῦ
συνειδότος καὶ τῆς δοθείσης αὐτῷ δυνάμεως εἰς ἀλαζονείαν
179 ἐκπέσῃ, ὡς ἐπὶ τοῦ Παύλου. ἐγκαταλείπεταί τις πρὸς
καιρὸν εἰς διόρθωσιν ἄλλου, ἵνα τὸ κατ' αὐτὸν σκοποῦντες
οἱ ἄλλοι παιδεύωνται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ πλου-

VAR. LECT. ET ANIMADV.

ὅπερ γὰρ ἐπὶ τῶν — τοῦτο καὶ ἐπὶ τῶν] ὅπερ γὰρ κἀπὶ τῶν — τοῦτο κἀπὶ τῶν. A. 2. Omisso γὰρ, utroque loco in κἀπὶ spiritus lenis a man. rec. D. 1. mox, τὰ κατὰ ταύτην εἴδωλα. A. 2. D. 1.

Φαμὲν γοῦν] Cono incipit libri 8. cap. 8. Differit, quibus ex causis divina providentia tot mala hominibus inferat, etiam justis, cujus proprium est singulis bene facere et disponere.

συγχώρησιν τοῦ θεοῦ] τοῦ abest. D. 1. Paullo post, τὴν ἐν αὐτοῖς λανθάνουσαν. M. 2. et, ἀναδείξῃ τοῖς ἄλλοις, loco ἀναδείξηται ἄλλοις. D. 1. M. 2. A. 2. Confer Jo. pag. 197. A.

ἄλλοτε συγχωρεῖ] ἄλλως τε συγχωρεῖ. D. 1. Malim equidem, ἄλλοτε δέ. Mox, καὶ ἵνα διὰ τῆς πράξεως. D. 1.

καὶ θαυμαστὸν] abest. A. 2.

τὸν ὅσιον πάσχειν] καὶ τὸν ὅσιον πάσχειν. A. 2. D. 1. Con. Vall. Paullo post ἀλαζονίαν. D. 1.

Παύλου. ἐγκαταλείπεται] Παύλου. ἐγκατελείφθη. M. 2.

οἱ ἄλλοι παιδεύωνται] οἱ πολλοὶ παιδεύονται. D. 1.

τοῦ λαζάρου κ. τ. λ.] πλουσίου καὶ τοῦ λαζάρου. Sed λαζάρου, ante πλουσίου, rasura deletum. A. 2. Mox, πάσχοντας ex corr. rec., antea πάσχοντες. D. 1.

σίου. Φυσικῶς γὰρ ὁρῶντές τινας πάσχοντας συστελλόμεθα, ὡς εἴρηται καλῶς καὶ Μενάνδρῳ τὸ,

Φοβούμενοι τὸ θεῖον ἐπὶ τοῦ σοῦ πάθους.

ἐγκαταλείπεταί τις καὶ εἰς ἄλλου δόξαν, οὐ δι' οἰκείας ἢ γονέων ἁμαρτίας, ὡς ὁ ἐκ γενετῆς τυφλὸς, εἰς δόξαν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. πάλιν συγχωρεῖταί τις παθεῖν εἰς ἄλλου ζῆλον, ἵνα, τῆς δόξης τοῦ παθόντος μεγαλυνθείσης, ἄοκνον τὸ πάθος τοῖς ἄλλοις γένηται, ἐλπίδι τῆς μελλούσης

VAR. LECT. ET ANIMADV.

καλῶς τῷ μενάνδρῳ] καλῶς καὶ μενάνδρῳ. A. 2. D. 1. Sic, omiſſo καλῶς. Vall.

θεῖον ἐπὶ τοῦ σοῦ πάθους] θεῖον, πάσχομεν, ὦ φίλος, ἐπὶ τοῦ σοῦ πάθους, ὡς οὕτω δεῖ πάσχειν. D. 1. Poſt πάθους ſolum addit: οὕτω δεῖ πάσχειν. A. 2. Hoc dictum Menandri, ut legitur in edit. Ant. a Grotio relatum eſt inter illius fragmenta. Vide edit. Clerici p. 262. Locus Menandri, ex media oratione decerptus, notat, *inſigni poena divina hominis improbi terreri alias.* Πάσχομεν non habet locum. Requiritur μάθομεν, aut ſimile quid. Poſt μενάνδρῳ Cono ita habet: *Quod divum*, (* Hoc ſigno defectus notatur. Continuo:) *qualiter in compatiente conceſſi omnia pati, ſicut praedictum eſt ad Job et Paulum, ita oportet pati. Deſtituitur aliquis etiam in alterius gloriam.* Ex his ſuſpicor, poſt locum Menandri excidiſſe locum litterarum ſacrarum. Forte Act. IX, 16. et Job. 40, 3. M. 2. poſt πάθους ita pergit: καὶ συνεχώρησε πάντα παθεῖν, καθὰ προείρηται, τὸν ἰὼβ καὶ τὸν παῦλον, οὕτω δεῖ πάσχειν. ἐγκαταλείπεταί τις κ. τ. λ.

ὁ ἐκ γενετῆς κ. τ. λ.] γενητῆς, loco γενετῆς. A. 2. ὁ ἐκ γεννητῆς, ἀλλ' εἰς δόξαν. D. 1. Vide Evangelium Jo. IX, 1.

εἰς ἄλλον ζῆλον — τοῦ παθεῖν μεγαλ.] εἰς ἄλλου ζῆλον — τοῦ παθόντος μεγαλ. A. 2. D. 1. Con. Vall. παθόντος habet etiam, M. 2.

ἄοκνον κ. τ. λ.] τὸ αὐτὸ πάθος τοῖς ἄλλοις ὄρεξιν καὶ ἐλπίδα τῆς μελλούσης. D. 1. Sed A. 2. poſt γένηται ita ſolum variat: καὶ ἐλπίδα — καὶ ἐπιθυμίαν τῶν μελλόντων ἀγαθῶν. Rurſus poſt μελλούσης δόξης ita pergit D. 1. καὶ ἐπιθυμίαν τῶν μελλόντων ἀγαθῶν προξενήσῃ, ὡς ἐπὶ τῶν μαρτύρων. Cum neutrius Codicis lectio ſatis ſibi conſtet, interim acquieſco in vulgata, quam fere ad verbum expreſſit Jo. p. 197. C. Cono conſentit in his omnibus cum lectione vulgata. Valla etiam ſecutus eſt lectionem vulgatam, addito ſolo καὶ, ante ἐλπίδι.

δόξης καὶ ἐπιθυμίᾳ τῶν προσδοκωμένων ἀγαθῶν, ὡς ἐπὶ τῶν μαρτύρων καὶ τῶν ἑαυτοὺς ἐπιδεδωκότων ὑπὲρ πατρίδος ἢ γένους ἢ δεσποτῶν ἢ τέκνων ἢ πίστεως. εἰ δέ τῳ δοκοίη παράλογον εἶναι, τὸ τὸν ὅσιον εἰς ἄλλου διόρθωσιν πάσχειν κακῶς, γινωσκέτω, ὡς οὗτος ὁ βίος ἀγών ἐστι καὶ στάδιον ἀρετῆς. ὅσῳ τοίνυν μείζους οἱ πόνοι, τοσούτῳ μείζους οἱ στέφανοι. πρὸς γὰρ τὸ μέτρον τῆς ὑπομονῆς ἡ τῶν ἄθλων ἀντίδοσις. διὰ τοῦτο Παῦλος ἐν μυρίαις συνεχωρήθη γενέσθαι θλίψεσιν, ἵνα μείζονα καὶ τέλειον ἀπενέγκηται τῆς νίκης τὸν στέφανον. πάντα γὰρ καλῶς καὶ δεόντως γίνεται τῆς προνοίας τὰ ἔργα. ὅτι δὲ καλῶς καὶ δεόντως καὶ ὡς μόνως ἐπιδέχεται, διοικεῖ θεὸς τὰ πάντα, δύο τούτοις τοῖς σκοποῖς τις χρώμενος, τοῖς παρὰ πᾶσιν ὁμολογουμένοις, ὀρθότατα σκοπήσειν. ἀγαθός ἐστι καὶ μόνος σοφός. οὐκοῦν διὰ μὲν τὸ

VAR. LECT. ET ANIMADV.

δεσποτῶν] poſt hoc ita pergit: ἢ τέκνων, ἢ πίστεως. εἰ δὲ τὸ δοκοίη. A. 2. ἢ τέκνων, ἢ πίστεως. εἰ δέ τῳ δοκοίη. Sed τῷ eſt ex correct. rec., antea erat δέ τι, forte loco δ' ἔτι. D. 1. Cono, omiſſis ἢ δεσποτῶν, habet: vel filiis, vel fide. Si vero quis irrationabile arbitratur, ſanctum in alterius directionem. Valla conſentit cum vulgata.

τὸ εἰς ἄλλου διόρθωσιν] τὸ τὸν ὅσιον εἰς ἄλλου διόρθωσιν. A. 2. Sic, omiſſo τόν. D. 1. Valla loco τὸν ὅσιον habet *bonus*. Cono: *ſanctum*.

καὶ γὰρ τὸ μέτρον] πρὸς γὰρ τὸ μέτρον. A. 2. D. 1. *Ad menſuram enim paſſionis et numerum* eſt retributio. Con. Mox, ἀπενέγκηται, loco ἀπολάβῃ. A. 2. D. 1. Utrumque eandem ſententiam efficit. Cono: *referret*. Valla: *afferret*. Forte *auferret*. Sed M. 2. exhibet ἀναπολαύει. Sic. Deinde: πάντα γὰρ καλῶς. A. 2. D. 1.

μόνως] ex correct., antea μόνος. A. 2. Sic ad huc. M. 2. Mox, διοικεῖ ὁ θεός. D. 1. Continuo ab τὰ πάντα ad καὶ μόνος omittit M. 2.

δύο τούτοις τοῖς σκοποῖς τις χρ.] τοῖς abeſt. D. 1. διὸ τούτοις τις χρ. et ex correct., δύο τούτοις σκοποῖς τις χρ. A. 2.

ἀγαθός ἐστι] vid. Jo. p. 196. C. Ab ἀγαθὸς ad ἐπιμελεῖται, Valla ita reddidit: Nunquid enim, cum bonum eſſe deum conſtet, jure etiam proviſor erit? cumque ſapiens quoque ſit, num ſapienter et optime eorum quae ſunt curam habuerit? Omiſit ergo, ἀγαθός ἐστι καὶ μόνος σοφός. et loco οὐκοῦν legit οὐκ οὖν.

σοφός.

ἀγαθὸς εἶναι, προνοητὴς εἰκότως ἐστί· διὰ δὲ τὸ σοφὸς εἶναι, σοφῶς καὶ ἄριστα τῶν ὄντων ἐπιμελεῖται. εἰ μὲν γὰρ οὐ προνοεῖ, οὐκ ἀγαθός· εἰ δὲ μὴ καλῶς, οὐ σοφός. δεῖ τοίνυν τούτοις προσεχοντα τοῖς σκοποῖς, μηδαμῶς καταγινώσκειν

VAR. LECT. ET ANIMADV.

σοφός. οὐκοῦν κ. τ. λ.] σοφὸς ὁ θεὸς καὶ τοῖς καλοῖς καὶ οὐ καλοῖς (ſed hoc καλοῖς fere evanuit.) εὐεργέτης εἰκότως ἐστί. καὶ διὰ μὲν τοῦ ἀγαθὸς εἶναι ἀγαθὰ πάντα (ἀγαθὰ ſere evanuit, et inter πάν et τα eſt raſura duarum aut trium litterarum,) ποιεῖ· διὰ δὲ τοῦ σοφὸς εἶναι σοφῶς καὶ ἄριστα τῶν ὄντων ἐπιμελεῖται. D. 1. Poſt μὲν ſolum τοῦ mutat, loco τό. A. 2. Mox, γὰρ μὴ προνοεῖ. A. 2. Alteram partem horum addit, alteram omittit Cono. Habet enim ſic: Solus ſapiens, *et bonis ac perfectis beneficus decenter exiſtit.* Quia vero ſapiens eſt etc. Ex his aliquis conjicere poſſit, Cononem legiſſe: τοῖς καλοῖς καὶ τελείοις. Ego vero magis probo καλοῖς καὶ ἀγαθοῖς. Cum enim καλοῖς reddidiſſet *bonis*, neceſſario loco ἀγαθοῖς, ſeu *bonis*, aliud vocabulum, id eſt, *perfectis* ſubſtituit. Ceterum, ὁ θεὸς καὶ — εὐεργέτης εἰκότως ἐστί, mihi quidem non admittenda videntur. Primo enim ſolummodo propoſitum erat docere, *deum bonum et ſapientem eſſe*, ac deinde ex utroque, ἀγαθῷ et σοφῷ, argumentari. Ergo haec ſententia hic redundat. Deinde ferri in Nemeſio vix poteſt moleſta illa repetitio, εὐεργέτης εἰκότως ἐστίν, et, προνοητὴς εἰκότως ἐστί. Prius ergo exciderant, ut arbitror, iſta, οὐκοῦν — προνοητὴς εἰκότως ἐστί. Id apparet ex Conone. Hunc defectum alii ſupplerunt addendo: καὶ τοῖς καλοῖς — πάντα ποιεῖ. Id docet Cod. D. 1. De Vallae lectione jam dixi.

διὰ δὲ τὸ σοφὸς εἶναι] horum loco adduntur ea, quae paullo ante omiſſa ſunt: τὰ πάντα κ. τ. λ. M. 2.

μηδενὸς καταγινώσκειν] μηδαμῶς καταγ. A. 2. Sic, ſed μῶς fere evanuit. D. 1. Paullo poſt, λέγωμεν πάντα καλῶς γεγενῆσθαι. A. 2. D. 1. Vide Jo. p. 196. C. Cono ita: nihil operibus providentiae detrahere. Idem paullo poſt omittit πεπεῖσθαι, *perſuaſum habere.* Inferius autem, loco κἂν, videtur legiſſe, καὶ εἰ, ac deinde omiſiſſe ἵνα. Etiam inferius habet: omnia bene *fieri.* Valla habet quidem *nihil*, ſed in reliquis longiſſime aberravit a vero. Veluti, in principio exhibet, ὁ τοίνυν τούτοις προσέχων, ac pro πεπεῖσθαι videtur legiſſe πεποιῆσθαι, ut alios errores mittam.

τῶν τῆς προνοίας ἔργων, μηδὲ βλασφημεῖν ἀνεξετάστως· καλῶς δὲ πάντα ἀποδέχεσθαι, πάντα θαυμάζειν, πάντα πεπεῖσθαι καλῶς καὶ δεόντως γίνεσθαι, κἂν φαίνηται τοῖς πολλοῖς ἄδικα· ἵνα μὴ πρὸς τῇ βλασφημίᾳ πολὺν καὶ τῆς ἀμαθίας ἑαυτῶν καταχέωμεν ψόγον. ὅταν δὲ λέγωμεν, πάντα καλῶς γίνεσθαι, δῆλον, ὡς οὐ περὶ τῆς κακίας τῶν ἀνθρώπων, οὐδὲ τῶν ἐφ' ἡμῖν ἔργων καὶ παρ' ἡμῶν γινομένων τὸν λόγον ποιούμεθα· ἀλλὰ περὶ τῶν τῆς προνοίας, τῶν οὐκ ἐφ' ἡμῖν ὄντων. πῶς οὖν ἄνδρες θεῖοι πικροῖς περιπεπτώκασι θανάτοις καὶ σφαγαῖς ἀναιτίοις; εἰ μὲν γὰρ ἀδίκως, διατί μὴ ἐκώλυσεν ἡ δικαία πρόνοια τὸν φόνον; εἰ δὲ δικαίως, ἀναίτιοι πάντως οἱ φονεύσαντες. πρὸς ταῦτα ἐροῦμεν, ὅτι καὶ ὁ φονεύων ἀδίκως φονεύει· καὶ ὁ φονευόμενος ἢ δικαίως φονεύεται ἢ συμφερόντως· δικαίως μὲν ἔσθ' ὅτε, διὰ πράξεις ἀτό-

VAR. LECT. ET ANIMADV.

ὅταν δὲ λέγωμεν] Cono incipit libri 8. cap. 9. Qui patiuntur innocentes, aut aequo animo nocentes, hic purgari ostendit. Qui autem passiones injustas inferunt, etiam jubente deo, malivolentiae suae poenam sortientur.

ἄνδρες ὅσιοι πικροῖς περιπίπτουσι θανάτοις καὶ σφαγαῖς ἀναιτίαις] ἄνδρες θεῖοι περιπεπτώκασι πικροῖς θανάτοις καὶ σφαγαῖς ἀναιτίοις. Sed a rec. in ordinem hunc vocantur πικροῖς περιπεπτ. θαν. D. 1. θεῖοι, loco ὅσιοι, et, πεσόκασι, ex corr. vero πεπτώκασι. praeterea in marg. a man. rec. ἢ περιπίπτουσι. Denique loco ἀναιτίαις est ἐναντίοις et in marg. a rec. γρ. ἀναιτίοις. A. 2. *Viri sancti*, et mox, *perpessi sunt*. Con. *Sancti viri — succubuerunt*. Vall. Idem ἀναιτίοις reddidit *indignis*.

ἀναίτιοι πάντως] ἀναίτιοι πάντες. A. 2. οἱ φονεύσαντες omittit. Vall.

πρὸς αὐτοὺς ἐροῦμεν — ἀδίκως φονεύει] Horum loco a man. rec. insertum: πρὸς ταῦτα ἐροῦμεν, ὅτι καὶ ὁ φονεὺς ἀδίκως φονεύει. D. 1. πρὸς ταῦτα ἐροῦμεν, ὅτι καὶ ὁ φονεύων ἀδ. φον. A. 2. Ad haec dicemus, quoniam is, qui occidit, injuste cecidit. Con. Ad hoc sane respondemus, quod qui cecidit, injuste cecidit. Vall.

ἔσθ' ὅτε] ἔσθ' ὅτι. Ox. Idem mox, ἡμῖν καὶ ἀδήλους. Cono omittit ἔσθ'. Mox idem habet: actiones *injustas* et inconvenientes. ἔσθ' omittit etiam Vall.

πους, ἡμῖν δὲ ἀδήλους· συμφερόντως δὲ, προκαταλαμβανούσης τῆς προνοίας τὰς μελλούσας ἔσεσθαι παρ' αὐτοῦ κακουργίας, καὶ ὅτι καλὸν αὐτῷ μέχρι τούτου στῆναι τὴν ζωὴν, (ὡς Σωκράτει καὶ τοῖς ἁγίοις·) ὁ δὲ φονεύσας, ἀδίκως ἐφόνευ- 181
σεν. οὐ γὰρ διὰ τοῦτο, οὐδὲ ἐξὸν αὐτῷ, ἀλλὰ διὰ κέρδος καὶ λῃστείαν ἑκουσίως. ἐφ' ἡμῖν γὰρ ἡ πρᾶξις· τὸ δὲ πάθος οὐκ ἐφ' ἡμῖν, οἷον τὸ φονευθῆναι. θάνατος δὲ οὐδεὶς κακὸς, εἰ μὴ ὁ δι' ἁμαρτίαν, ὡς δῆλον ἐκ τοῦ θανάτου τῶν ὁσίων ἀνδρῶν. ὁ δὲ ἁμαρτωλὸς, κἂν ἐν τῷ σκίμποδι, κἂν αἰφνίδιον ἀπόνως τελευτήσῃ, κακῶς ἀπέθανε, κακὸν ἐντά-

VAR. LECT. ET ANIMADV.

προκαταλαμβανούσης] *praecognoſcente.* Con. *antecedente.* Vall. Quanto rectius Ellebodius, qui reddidit, *occupare*, i. e. *praevertere?*

καλὸν αὐτῷ μέχρι] καλὸν αὐτὸν μέχρι. A. 2. Mox, στῆσαι τὴν ζωήν. D. 1. Ox. στῆσαι, *ſiſtere:* στῆναι, *ſiſti.* Eodem ergo h. l. redit. Cono: *ſiſti.* Ex Vallae interpretatione nihil licet colligere.

ὡς σωκράτει καὶ τοῖς ἁγίοις] haec a man. rec. in marg. D. 1. ὡς σωκρ. καὶ τοῖς ἄλλοις ἁγίοις δοκεῖ. A. 2. Tollenda cenſeo.

οὐ γὰρ διὰ τοῦτο] ex raſura. antea, credo, οὐδέ. D. 1. Mox in eodem ante ἐξὸν inſertum vel οὐδὲ, vel οὐδέν. Paullo poſt πρᾶξις. D. 1. Ox. Ἐξὸν αὐτῷ Cono reddidit, *commodans.* Et mox ἑκουσίως vertit, *inſidiatus eſt.* Valla habet *licere* et *ſponte*, ac praeterea quaedam de ſuo interpoſuit. Cono explicandi cauſſa videtur interpoſuiſſe, *inſidiatus eſt.* Deeſt enim verbum. Rectius vero ad iſta omnia intelligitur ἐφόνευσε ſeu ἐποίησε. Ceterum proxima vocabula, ἐφ' ἡμῖν γὰρ ἡ πρᾶξις, ſatis vindicant vocem ἑκουσίως. Sed ἑκουσίως ante ſe videtur requirere oppoſitum. Jam vocabulorum διὰ τοῦτο oppoſita ſunt, διὰ κέρδος καὶ λῃστείαν. Ἑκουσίως vero non poteſt opponi τῷ, οὐκ ἐξόν. Praeterea hic non quaeritur, an *licuerit*, ſed, an *oportuerit* id fieri. Loco ἐξὸν ergo conjicio, οὐδὲ χρεὼν αὐτῷ, *nec fatale ei ac neceſſarium fuit.* Ita fere Thucyd. VI, 18. οἷς χρεὼν ἐπαμύνειν. Ac fortaſſe Cono hoc ipſum inepte reddidit *commodans*, vocibus ſimilibus confuſis, velut χρέον, χράων, χρήζων.

οὐδεὶς κακὸς] οὐδὲ εἷς κακός. A. 2. Ante οὐδεὶς, loco δὲ, habet γάρ. M. 2.

ὁ δι' ἁμαρτίαν· ὡς δῆλον ἐκ] ὁ δι' ἁμαρτίαν γενόμενος· δῆλον ἐκ. D. 1.

φιον ἐπαγόμενος τὴν ἁμαρτίαν. ὁ μέντοι φονεύσας, κακῶς ἐφόνευσεν. ἐπὶ μὲν γὰρ τῶν δικαίως φονευομένων, εἰς τὴν τῶν δημίων ἑαυτὸν κατέταξε μοῖραν· ἐπὶ δὲ τῶν συμφερόντως, εἰς τὴν τῶν μιαιφόνων καὶ ἐναγῶν. τὰ αὐτὰ καὶ ἐπὶ τῶν τοὺς πολεμίους φονευόντων καὶ αἰχμαλωτιζόντων, καὶ πᾶσαν κακίαν κατὰ τῶν αἰχμαλώτων ἐργαζομένων. τὰ αὐτὰ καὶ ἐπὶ τῶν πλεονεκτούντων καὶ ἁρπαζόντων χρήματα. καὶ γὰρ τοῖς ἀφαιρουμένοις, ὡς εἰκὸς, συμφέρει, μὴ κεκτῆσθαι· ἀλλ' οἱ πλεονεκτήσαντες ἄδικοι. διὰ γὰρ πλεονεξίαν, οὐχὶ διὰ τὸ συμφέρειν ἐκείνοις ἀφείλοντο.

ΤΕΛΟΣ.

VAR. LECT. ET ANIMADV.

ἐπαγόμενος τὴν ἁμαρτίαν] ἐπαγ. τῶν ἁμαρτιῶν. M. 2. Contrarium eſt apud Aelian. Varr. Hiſt. XII, 55. ἐνδόξως ἀποθανεῖν ἐντάφιον τῷ θαπτομένῳ. et IV, 8. καλὸν ἐντάφιον ἡ τυραννὶς, immo vero, ἡ ἀρετή.

ἑαυτὸν κατέταξε] ἑαυτοὺς κατέταξαν. A. 2. Con. Sic, et mox μοῖραν, loco μοίραν. D. 1. Eſt ergo mutatio numeri. Sed Valla retinet ſingularem.

τὰ αὐτὰ καὶ ἐπὶ τῶν τοὺς πολεμίους φονευόντων] τὰ αὐτὰ (ex correct., antea, credo, ταὐτά.) καὶ ἐπὶ πολεμίων φονευόντων. D. 1. Sic, ſed ταῦτα. A. 2. Loco τοὺς πολεμίους habet etiam πολεμίων. M. 2. Cono: Eadem haec ſunt et in hoſtibus interficientibus. Valla: Idem intelligendum de eis, qui hoſtes conciderunt. Mox Valla omittit, καὶ πᾶσαν — αἰχμαλώτων.

καὶ αἰχμαλωτιζόντων] omittit Con.

κακίαν ἐργαζ.] κακίαν κατὰ τῶν αἰχμαλώτων ἐργαζομένων. ταῦτα καὶ ἐπί. A. 2. Sic, ſed in fine τὰ αὐτά. D. 1.

πλεονεκτούντων] *in graſſatoribus*. Con.

καὶ οἱ πλεονεκτ.] ἀλλ' οἱ πλεονεκτ. D. 1. Con. Vall.

ἀφείλοντο] antea, credo, ἀφείλαντο. D. 1. Poſt hoc caput in A. 2. additur aliud cum indice: ἐν τίνι τὸ ἡγεμονικὸν ἵδρυται. Incipit: Σιγάτω πᾶσα στοχαστικὴ ματαιολογία. Sed haec eſt pars prior capitis XII. Gregorii Nyſſeni de hominis opificio, inde a pag. 67. C. ad 71. C. Tom. I. edit. Pariſ.

SUP-

SUPPLEMENTA
VARIARUM LECTIONUM

ad pag. 15. ſeqq. edit. Antverp.

---

pag. 15. *ὑβρεῶς δὲ τὸν ἄνθρωπον*] Hic locus legitur apud Anaſtaſium Quaeſt. XXIV. p. 270. ſeqq. edit. Gretſeri. Ingolſtad. 1617. 4. Ibi eſt: *τὸν ἄνθρωπον ἴσμεν ἐξ ἀρχῆς.* In principio ſtatim monendum eſt, Anaſtaſium modo quaedam addere, modo quaedam omittere, modo quaedam mutare, haud raro pro arbitrio ſuo.

περιπέσῃ] *περιπέσῃται.*

θνητότητα] *τὴν θνητότητα.*

τροφῆς αὐτὸν] *αὐτὸν τροφῆς.*

ἀπεκδεχόμενοι] *ὑπεκδεχόμενοι δίκην, καὶ οὐ τόν.*

pag. 16. *κατεσκεύαστο*] *ἐσκευάσθη.*

ἀπηγόρευσεν αὐτῷ] *αὐτῷ* abeſt.

ἦσαν γὰρ] *γὰρ* abeſt. Mox, *εἶχεν τὴν ἐνέργειαν.*

τῆς δὲ σωματικῆς χρείας ἐγένετο] in fine addit *ἐνδεής.* Hoc tamen ut addatur non neceſſe eſt. Sic Philoſtorg. p. 62. *τοῦ προστάγματος γίνεται.* Et ibid. *τοῦ δέους γενόμενος.*

ἐκεζήτει] *ἐζήτησε.* Mox *ἡ γραφὴ*, loco *ὁ μωϋσῆς.*

ἐκπεσὼν οὖν τῆς τελειώσεως] in margine: *τελειότητος.* Nondum erat *τέλειος*, ſed adhuc *τῇ τελειώσει* operam dare debebat. Ergo *τελειότης* aliena ab hoc loco. Mox idem omittit *ὁμοίως.*

ἀναλήψεται] *ἀπολήψεται.* Mox deeſt *αὐτῷ*, poſt *ἀπόλαυσιν.* Paullo poſt, *ἀπὸ τῆς γῆς.*

pag. 17. τὰ τῆς ἀπολαύσεως] Poſt haec interponit: χρεία μὲν (Forte γάρ.) ἀνθρώπου (Forte ἀνθρώπῳ) τροφῆς καὶ ποτοῦ διὰ τὰς κενώσεις καὶ διαφορήσεις, omiſſis mox ab ἐπειδὴ ad κατὰ κίνωσιν. Sed iſta, quae hic addita ſunt, leguntur pag. 19.

περὶ ὧν ὕστερον ἐροῦμεν] abſunt. Nec enim pertinebant ad conſilium Anaſtaſii.

ἐξ ὧν καὶ συνέστημεν] συνεστάθημεν, loco συνέστημεν. Sed idem tempus eſt etiam pag. 18. ἐν χρείᾳ κατέστημεν.

pag. 18. πλεονεκτεῖ πάντα τὰ ζῶα] πλ. πάντων τῶν ζώων. Utraque conſtructio obtinet.

τοῖς ἄλλοις τοῖς παχυδέρμοις] poſt ἄλλοις addit ζώοις.

οἰκήσεως δὲ κ. τ. λ.] οἰκήσεώς τε οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τῶν θηρίων ἀποφυγάς.

pag. 19. καὶ διὰ τὰ θηρία] τὰ abeſt.

ἐνδοθεῖσαν τῷ σώματι] τῷ abeſt. Poſt σώματι addit: ἰατρῶν τε καὶ θεραπείας ἐν χρείᾳ κατέστημεν. Sed haec leguntur pag. 18.

pag. 26. ἐπεὶ τόγε ἀρχαῖον τῶν ἀλόγων κ. τ. λ.] Haec leguntur apud Anaſtaſium pag. 276. ſic: ἐπεὶ τόγε ἀρχαῖον οὐδὲν τούτων ἐδεῖτο.

καὶ πειθήνια] abſunt. Mox habet: καὶ τῆς ἐν αὐτῷ ἀλογίας.

παρὰ τῶν ἔξωθεν θηρίων εὐλόγως] παρὰ τῶν ἔξωθεν ἀλόγων θηρίων. Mox: συνῆλθε γάρ.

δῆλον ἐκ τῶν τὸν ἄριστον] διδάσκουσιν οἱ ἄριστοι (ἄριστον bene habet.) μετελθόντες βίον καὶ παρὰ τῶν τοιούτων μηδὲν βλαβέντες, ὡς ὁ Δανιὴλ ἀπὸ τῶν λεόντων καὶ Παῦλος ἀπὸ τῆς ἐχίδνης.

τοῦ συνδέοντος ἐν ἑαυτῷ] ἐν abeſt.

